μουσικὴν ἁρμονίαν, διὸ καὶ τὸν ἥλιον ποιεῖσθαι τὴν περίοδον ἐναρμόνιον. Περὶ δὲ τῶν ἐκ γῆς καὶ κόσμου γινομένων τάδε φασὶ λέγειν τὸν Ζαράταν· δύο δαίμονας εἶναι, τὸν μὲν οὐράνιον, τὸν δὲ χθόνιον· καὶ τὸν μὲν χθόνιον ἀνιέναι τὴν γένεσιν ἐκ τῆς γῆς· εἶναι δὲ ὕδωρ· τὸν δὲ οὐράνιον πῦρ μετέχον τοῦ ἀέρος, θερμὸν καὶ ψυχρόν· διὸ καὶ τούτων οὐδὲν ἀναιρεῖν οὐδὲ μιαίνειν φησὶ τὴν ψυχήν· ἐσλὶ γὰρ ταῦτα οὐσία τῶν πάντων. Κυάμους δὲ λέγεται παραγγέλλειν μὴ ἐσθίειν, αἰτίᾳ τοῦ τὸν Ζαράταν εἰρηκέναι κατὰ τὴν ἀρχὴν καὶ σύγκρισιν τῶν πάντων συνισταμένης τῆς γῆς ἔτι καὶ συννενημένης γενέσθαι τὸν κύαμον· τούτου δὲ τεκμήριόν φησιν, εἴ τις καταμασησάμενος λεῖον τὸν κύαμον καταθείη πρὸς ἥλιον χρόνον τινά (τοῦτο γὰρ εὐθέως ἀντιλήψεται), προσφέρειν ἀνθρωπίνου γόνου ὀδμήν. Σαφέστερον δὲ εἶναι καὶ ἕτερον παράδειγμα λέγει, εἰ ἀνθοῦντος τοῦ κυάμου λαβόντες τὸν κύαμον καὶ τὸ ἄνθος αὐτοῦ καὶ καταθέντες εἰς χύτραν ταύτην τε καταχρίσαντες εἰς γῆν κατορύξαιμεν καὶ μετ' ὀλίγας ἡμέρας ἀνα-

Ideo solem facere circuitum certa harmonia limitatum. Sed de rebus generatis e terra et mundo talia ferunt dicere Zaratam : duos esse dæmonas, cœlestem alterum et item alterum terrestrem : ex his terrestrem e terra subjecisse originem, esse vero aquam ; cœlestem autem esse ignem aeris participem, calidum et frigidum, censetque propterea nullam perniciem vel labem animæ ex his accidere posse, quum illa sint omnium rerum essentia. Cæterum ejus præceptum de non edendis fabis tali causa natum ferunt, quod Zaratas dixerit sub exordium et concretionem rerum omnium, terra adhuc coalescente et compacta, progenitam esse fabam : ejus autem documentum dabat, si quis exemptam siliquis fabam postquam manducavit, deposuerit aliquandiu in sole (id enim statim auxiliabitur) humani seminis odorem sparsura est. Sed et hac evidentiorem præterea dicit esse demonstrationem, si quo tempore faba floret, aliquam cum flore ejus sumptam, et ollæ inunctæ inditam in terra defoderimus, paucisque interjectis diebus iterum detexe-

5. τοῦ ψυχροῦ Rœp. ; καὶ ψυχρόν vulg. ; ὑγροῦ? Schneid. — 6. ἀναιρεῖ Rœp. — 9. ἔτι καὶ συνσεσημμένης γενέσθαι vulgo ; legendum esse conjicio συννενημένης. Legitur συνσεσημμένης in quatuor codicibus et addit Wolfius : Paraphrastes hoc verbum cum cæteris ita explicat : διὰ τὸ ἔτι συνισταμένης καὶ οἷον συμπηγνυμένης τῆς γῆς ἐγγενέσθαι τὸν κύαμον. — 12. προσφέρειν Taur. ; προσφέρει vulgo.

καλύψαιμεν, ἴδοιμεν [ἂν] αὐτὸ εἶδος ἔχον τὸ μὲν πρῶτον ὡς αἰσχύνην γυναικός, μετὰ δὲ ταῦτα κατανοούμενον παιδίου κεφαλὴν συμπεφυκυῖαν. Οὗτος ἐν Κρότωνι τῆς Ἰταλίας ἅμα τοῖς μαθηταῖς ἐμπυρισθεὶς διεφθάρη. Ἔθος δὲ τοῦτο [9] ἦν παρ' αὐτῷ, ἐπειδὰν προσήει τις μαθητευσόμενος, πιπράσκειν τὰ ὑπάρχοντα καὶ τὸ ἀργύριον κατατιθέναι ἐσφραγισμένον παρὰ τῷ Πυθαγόρᾳ, καὶ ὑπέμεινε σιωπῶν ὁτὲ μὲν ἔτη τρία, ὁτὲ δὲ πέντε, καὶ μανθάνων· αὖθις δὲ λυθεὶς ἐμίσγετο τοῖς ἑτέροις καὶ παρέμενε μαθητὴς καὶ συνεισῄει ἅμα· εἰ δ' οὖν, ἀπελάμβανε τὸ ἴδιον καὶ ἀπεβάλλετο. Οἱ μὲν οὖν ἐσωτερικοὶ ἐκαλοῦντο Πυθαγόρειοι, οἱ δὲ ἕτεροι Πυθαγορισταί. Τῶν δὲ μαθητῶν αὐτοῦ οἱ διαφυγόντες τὸν ἐμπρησμὸν Λῦσις ἦν καὶ Ἄρχιππος καὶ ὁ τοῦ Πυθαγόρου οἰκέτης Ζάμολξις, ὃς καὶ τοὺς παρὰ Κελτοῖς Δρυΐδας λέγεται διδάξαι Φιλοσοφεῖν τὴν Πυθαγόρειον Φιλοσοφίαν. Τοὺς δὲ ἀριθμοὺς καὶ τὰ μέτρα παρὰ Αἰγυπτίων φασὶ τὸν Πυθαγόραν μαθεῖν, ὃς καταπλαγεὶς τῇ τῶν ἱερέων ἀξιοπίστῳ καὶ φαντασιώδει καὶ δυσχερῶς ἐξαγορευομένῃ σοφίᾳ, μιμησάμενος ὁμοίως καὶ αὐ-

rimus, futurum esse ut simile quid pudendis primo muliebribus, hinc contemplando accuratius congenito infantis capiti deprehendamus. Interiit hic Crotone, in Italia, una cum discipulis combustus. Consuetudo autem disciplinæ ejus hæc erat: si quis in discipulorum numerum recipiendus accederet, is vendere bona obsignatumque apud Pythagoram argentum deponere cogebatur, silendoque nonnunquam explebat triennium, aliquando quinquennium, etsi discendo; dabaturque deinde libera cum aliis conversandi facultas, manebatque discipulus, et communi utebatur mensa; sin autem, recepto quod ejus proprium erat, rejiciebatur. Interiores quidem igitur Pythagoreorum, reliqui Pythagoristarum cognomine dignoscebantur. Porro ex discipulis, qui incendium effugerunt, fuere Lysis et Archippus et Pythagoræ servus Zamolxis, qui etiam Druidas dicitur apud Celtas Pythagorica philosophari docuisse. Numeros autem et mensuras Pythagoram ab Ægyptiis accepisse prædicant: qui gravi illa speciosaque, et quæ difficulter communicari cum aliis solet, sacerdotum sapientia obstupefactus, pariter

1. *ἴδοιμεν αὐτὸ* vulgo; legendum *ἴδοιμεν ἂν*. — 4. *προσίῃ*? — 6. *Πυθαγόρῃ* vulgo. — 7. *μανθάνων* Wolfius; *μανθάνειν* vulgo. — 8. *εἰ δ' οὐ* vulgo; legendum *εἰ δ' οὖν*. — 11. *Λύσις* vulgo; sed prima producitur. — 12. *Ζαμέτος* Barb.

τὸς σιγᾶν προσέταξεν καὶ ἐν ἀδύτοις κατάγων ἐρημεῖν ἐποίει μανθάνοντας.

γ'. Περὶ Ἐμπεδοκλέους.

Ἐμπεδοκλῆς δὲ μετὰ τούτους γενόμενος καὶ περὶ δαιμόνων φύσεως εἶπε πολλά, ὡς ἀνασπρέφονται διοικοῦντες τὰ κατὰ τὴν γῆν ὄντες πλεῖστοι. Οὗτος τὴν τοῦ παντὸς ἀρχὴν νεῖκος καὶ φιλίαν ἔφη· καὶ τὸ τῆς μονάδος νοερὸν πῦρ τὸν Θεόν, καὶ συνεστάναι ἐκ πυρὸς τὰ πάντα καὶ εἰς πῦρ ἀναλυθήσεσθαι· ᾧ σχεδὸν καὶ οἱ Στωϊκοὶ συντίθενται δόγματι, ἐκπύρωσιν προσδοκῶντες· μάλιστα δὲ πάντων συγκατατίθεται τῇ μετενσωματώσει, οὕτως εἰπών·

Ἤτοι μὲν γὰρ ἐγὼ γενόμην κοῦρός τε κόρη τε
Θαμνός τ' οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς.

Οὗτος πάσας εἰς πάντα τὰ ζῶα μεταλλάττειν εἶπε τὰς (10) ψυχάς.

accensus æmulatione similis invexit silentii regulam, discentesque et ipse deducens in adytis solos commorari compulit.

III. DE EMPEDOCLE.

Exortus post hos Empedocles etiam super dæmonum natura, quemadmodum res terrestres administrantes vagentur numero plurimi, multa disseruit. Hic universi principium discordiam statuit et amicitiam. Voluitque illum monadis intelligendum mente ignem haberi pro Deo, et constare ex igne omnia, atque in ignem resolutum iri. Cui fere sententiæ suffragantur etiam Stoici conflagrationem exspectantes. Præ cæteris vero animarum de corporibus in alia corpora transitioni assentitur, sic loquens :

Namque fui quondam juvenis formosaque virgo
Et stirps et volucris, venalis ab æquore piscis.

Idem hic animarum affirmavit omnium omnia in animalia transmutatio-

1. καταγείοις Rœp.; κατάγων vulgo. – ἐρημεῖν Rœper.; ἠρεμεῖν vulgo. – μανθάνοντα vulgo. — Cap. III, l. 10. Cf. Emped. ed. Karsten. v. 380 sq. — 11. Θαμνός] καὶ θήρ Cedrenus, et profecto quadrupedis mentio desideratur. An ἀμνός? Schneidew. – ἐξ ἁλὸς] εἰν ἁλὶ alii legunt; deinde pro ἔμπορος alii hic legunt ἔλλοπες, alii vero φαίδιμος ἰχθύς; conf. Karsten. et Stein.

Καὶ γὰρ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἔφη ἑαυτὸν Εὔφορβον γεγονέναι τὸν ἐπὶ Ἴλιον στρατεύσαντα, φάσκων ἐπιγινώσκειν τὴν ἀσπίδα. Ταῦτα μὲν ὁ Ἐμπεδοκλῆς.

δ'. Περὶ Ἡρακλείτου.

Ἡράκλειτος δὲ φυσικὸς φιλόσοφος, ὁ Ἐφέσιος, τὰ πάντα ἔκλαιεν, ἄγνοιαν τοῦ παντὸς βίου καταγινώσκων καὶ πάντων ἀνθρώπων, ἐλεῶν δὲ τὸν τῶν θνητῶν βίον· αὐτὸν μὲν γὰρ ἔφασκε τὰ πάντα εἰδέναι, τοὺς δὲ ἄλλους ἀνθρώπους οὐδέν. Καὶ αὐτὸς δὲ σχεδὸν σύμφωνα τῷ Ἐμπεδοκλεῖ ἐφθέγξατο, στάσιν καὶ φιλίαν φήσας τῶν ἁπάντων ἀρχὴν εἶναι, καὶ πῦρ νοερὸν τὸν Θεόν, ἐμφέρεσθαί τε τὰ πάντα ἀλλήλοις καὶ οὐχ ἑστάναι, καὶ ὥσπερ ὁ Ἐμπεδοκλῆς πάντα τὸν καθ' ἡμᾶς τόπον ἔφη κακῶν μεστὸν εἶναι, καὶ μέχρι μὲν σελήνης τὰ κακὰ φθάνειν ἐκ τοῦ περὶ γῆν τόπου ταθέντα, περαιτέρω δὲ μὴ χωρεῖν, ἅτε καθαρωτέρου τοῦ ὑπὲρ τὴν σελήνην παντὸς ὄντος τόπου· οὕτω καὶ τῷ Ἡρακλείτῳ ἔδοξεν.

nem. Quippe hujusmodi rerum magister Pythagoras dixit Euphorbum fuisse se qui susceptæ in Ilion interfuit expeditioni, recognoscere se clypeum suum testatus. Et hæc quidem Empedocles.

IV. DE HERACLITO.

Heraclitus philosophus physicus Ephesius, damnata totius vitæ omniumque mortalium ignorantia, humanam vero miserans conditionem, omnia deplorabat. Nam se quidem omnia aiebat, nihil autem scire reliquos. Sed et ipse propemodum consentanea Empedocli effatus est, discordiam statuens et amicitiam omnium esse principium, et ignem qui mente percipitur Deum, omniaque in sese invicem impingi et consistere nihil : utque Empedocles etiam omnem circa nos locum dicebat esse plenum malorum, eademque mala ex loco circa terram porrecta ad lunam usque pertinere; ulterius autem non procedere, quum omnis supra lunam locus purior sit; visum idipsum etiam Heraclito.

1. τούτου ὢν Rœp. p. 606. — 2. περὶ Ἴλιον Rœp.— Cap. IV, l. 6. ἐλεῶν δὴ Rœp.; cf. Procl. in Timæum : ἀλλ' Ἡράκλειτος μὲν ἑαυτὸν πάντα εἰδέναι λέγων, πάντας τοὺς ἄλλους ἀνεπισήμονας ποιεῖ. — 9. συμφέρεσθαι Rœper.; ἐμφέρεσθαι vulgo. — 10-11. καθ' ἡμῶν Gronovius. Paraphrastes legebat καθ' ἡμᾶς; ita enim hæc παραφράζει· καὶ τὸν καθ' ἡμᾶς βίον μεστὸν κακῶν μέχρι σελήνης.

Μετὰ τούτους ἐγένοντο καὶ ἕτεροι φυσικοί, ὧν οὐκ ἀναγκαῖον ἡγησάμεθα τὰς δόξας εἰπεῖν, μηδὲν τῶν προειρημένων ἀπεμφαινούσας. Ἀλλ' ἐπεὶ καθόλου οὐ μικρὰ γεγένηται ἡ σχολὴ πολλοί τε οἱ μετέπειτα φυσικοὶ ἐξ αὐτῶν γεγένηνται ἄλλοι ἄλλως περὶ φύσεως τοῦ παντὸς διηγούμενοι, καὶ δοκεῖ ἡμῖν τὴν ἀπὸ Πυθαγόρου ἐκθεμένους φιλοσοφίαν κατὰ διαδοχὴν ἀναδραμεῖν ἐπὶ τὰ δόξαντα τοῖς μετὰ Θαλῆν, καὶ ταῦτα ἐξειπόντας ἐλθεῖν ἐπί τε τὴν ἠθικὴν καὶ λογικὴν φιλοσοφίαν, ὧν ἦρξαν Σωκράτης μὲν ἠθικῆς, Ἀριστοτέλης δὲ διαλεκτικῆς.

ε'. Περὶ Ἀναξιμάνδρου.

(11) Θαλοῦ τοίνυν Ἀναξίμανδρος γίνεται ἀκροατής. Ἀναξίμανδρος Πραξιάδου Μιλήσιος. Οὗτος ἀρχὴν ἔφη τῶν ὄντων φύσιν τινὰ τοῦ ἀπείρου, ἐξ ἧς γίνεσθαι τοὺς οὐρανοὺς καὶ τοὺς ἐν αὐτοῖς κόσμους. Ταύτην δ' ἀΐδιον εἶναι καὶ ἀγήρω, ἣν καὶ πάντας περιέχειν τοὺς κόσμους. Λέγει δὲ χρόνον ὡς ὡρισμένης τῆς γενέσεως καὶ τῆς οὐσίας καὶ τῆς φθορᾶς. Οὗτος μὲν ἀρχὴν καὶ στοιχεῖον εἴρηκε τῶν

Hos alii quoque physici sunt secuti. Quorum recensere opiniones, quod nihil discrepent a commemoratis, haud duximus operæ pretium. Sed quoniam eorum schola non fuit in universum infrequens, imo vero multi de universi natura disputantes alii aliter deinceps ex his propagati sunt physici; nobis etiam videtur, postquam a Pythagora deductam philosophiæ successionem exposuimus, recurrere ad ea quæ senserunt secuti Thalem, et iis enarratis ad philosophiam moralem et rationalem progredi, quibus aperuere januam Socrates quidem ethicæ, dialecticæ vero Aristoteles.

V. DE ANAXIMANDRO.

Thaletis igitur Anaximander fuit auditor; Anaximander, filius Praxiadæ, Milesius. Huic visum est rerum principium infiniti quædam natura, dehinc statuit genitos cœlos et ornatum in illis. Illam vero æternam esse seniique expertem, et universos circumplectentem mundos. Indicat vero tempus veluti determinata et nativitate et essentia et pernicie. Hic igitur infinitum illud statuit rerum principium et elementum, primus principii usurpans

8-9. ἠθικὸς..... διαλεκτικός Gronovius. — Cap. v, lin. 12. τὸν κόσμους H. Ritterus; τὸν κόσμον vulgo.

ὄντων τὸ ἄπειρον, πρῶτος τοὔνομα καλέσας τῆς ἀρχῆς. Πρὸς δὲ τούτῳ κίνησιν ἀΐδιον εἶναι, ἐν ᾗ συμβαίνει γίνεσθαι τοὺς οὐρανούς. Τὴν δὲ γῆν εἶναι μετέωρον ὑπ' οὐδενὸς κρατουμένην, μένουσαν διὰ τὴν ὁμοίαν πάντων ἀπόστασιν. Τὸ δὲ σχῆμα αὐτῆς ὑγρόν, στρογγύλον, κίονι λίθῳ παραπλήσιον. Τῶν δὲ ἐπιπέδων ᾧ μὲν ἐπιβεβήκαμεν, ὃ δὲ ἀντίθετον ὑπάρχει. Τὰ δὲ ἄστρα γίνεσθαι κύκλον πυρός, ἀποκριθέντα τοῦ κατὰ τὸν κόσμον πυρός, περιληφθέντα δ' ὑπὸ ἀέρος. Ἐκπνοὰς δ' ὑπάρξαι τινὰς ἀερώδεις, καθ' οὓς τόπους φαίνεται τὰ ἄστρα· διὸ καὶ ἐπιφρασσομένων τῶν ἐκπνοῶν τὰς ἐκλείψεις γίνεσθαι. Τὴν δὲ σελήνην ποτὲ μὲν πληρουμένην φαίνεσθαι, ποτὲ δὲ μειουμένην κατὰ τὴν τῶν πόρων ἐπίφραξιν ἢ ἄνοιξιν. Εἶναι δὲ τὸν κύκλον τοῦ ἡλίου ἑπλακαιεικοσιπλασίονα τῆς σελήνης, καὶ ἀνωτάτω μὲν εἶναι τὸν ἥλιον, κατωτάτω δὲ τοὺς τῶν ἀπλανῶν ἀστέρων κύκλους. Τὰ δὲ ζῶα γίνεσθαι [ἐν ὑγρῷ] ἐξατμιζομένῳ ὑπὸ τοῦ ἡλίου.

appellationem. Ad hoc autem existere æternum motum, in quo nasci contingat cœlos. Terram a nulla re suffultam pendere, loco subsistentem suo propter æqualem omnium distantiam. Spectatam a forma orbem referre madidum, columnæ non absimilem lapidi. Superficierum autem alteram quidem calcamus, altera vero est opposita. Astra vero esse circulum ignis discretum a mundi igne, circumdatum ab aere. Exspirationes autem esse quasdam aereas, in quibus locis apparent astra. Hinc etiam obstructis exspirationibus occasionem dari eclipsibus. Pro transituum vel obturatione vel dilatatione plenam nonnunquam, minuentem aliquando apparere lunam. Majorem luna septies et vicies esse solis orbem; et supremum locum occupare solem, infimum vero fixarum stellarum globos. Animalia in humidis gigni dum sen-

2. *συμβαίνειν* Rœp.; *συμβαίνει* vulgo. – *οὐρανούς*] *ἀνθρώπους* Barb. — 3. *μηδενὸς* Taur. — 4. *γυρὸν* Rœp. — 5. *κίονι* Wolf.; *χιόνι* vulgo; cf. Rœper. p. 607 sq. qui ab Anaximandro ipso *κιονέῃ* profectum arbitratur. Schneid. — 5-6. *ὃν ἐπιβεβήκαμεν, ὃ μὲν δὲ* Barb. Ottob.; *τῷ μὲν, τόδε* Salv. — 6. *ἀντίθετον* Antipodes quos a Platone primo ita nominatos esse testatur Laertius, III, 24, quum tamen ante eum Pythagoras eosdem statuerit. — 8. *τόπους τινὰς ἀερώδεις καθ' οὓς φαίνεται* vulgo; correxit Rœp. p. 608. — 12. *ἑπλακαιεικοσιπλασίονα*]; cf. Rœper. qui *ἑπλακοσιεικοσαπλασίονα* commendat, p. 609. — 13. *ἡλίου* Rœp.; *ἥλιον* vulgo. — 14. *ἐξατμιζόμενα ὑπὸ τοῦ ἡλίου*. Supplevi *ἐν ὑγρῷ* ex Plutarcho qui, *De Placitis philos.* lib. V, c. XIX: *Ἀναξίμανδρος ἐν ὑγρῷ γεννηθῆναι τὰ πρῶτα ζῶα*...

Τὸν δὲ ἄνθρωπον ἐτέρῳ ζώῳ γεγονέναι, τουτέστιν ἰχθύϊ, παραπλήσιον κατ' ἀρχάς. Ἀνέμους δὲ γίνεσθαι τῶν λεπτοτάτων ἀτμῶν τοῦ ἀέρος ἀποκρινομένων καὶ [12], ὅταν ἀθροισθῶσι, κινουμένων, ὑετὸν δὲ ἐκ γῆς ἀναδιδομένης ἐκ τῶν [νεφελῶν] ὑφ' ἡλίου· ἀστραπὰς δέ, ὅταν ἄνεμος ἐμπίπλων διίστᾳ τὰς νεφέλας. Οὗτος ἐγένετο κατὰ ἔτος τρίτον τῆς τεσσαρακοστῆς δευτέρας ὀλυμπιάδος.

ς'. Περὶ Ἀναξιμένους.

Ἀναξιμένης δὲ καὶ αὐτὸς ὢν Μιλήσιος, υἱὸς δ' Εὐρυστράτου, ἀέρα ἄπειρον ἔφη τὴν ἀρχὴν εἶναι, ἐξ οὗ τὰ γινόμενα, τὰ γεγονότα καὶ τὰ ἐσόμενα καὶ θεοὺς καὶ θεῖα γίνεσθαι, τὰ δὲ λοιπὰ ἐκ τῶν τούτων ἀπογόνων. Τὸ δὲ εἶδος τοῦ ἀέρος τοιοῦτον, ὅταν μὲν ὁμαλώτατος ᾖ, ὄψει ἄδηλον, δηλοῦσθαι δὲ τῷ ψυχρῷ καὶ τῷ θερμῷ καὶ τῷ νοτερῷ καὶ τῷ κινουμένῳ, κινεῖσθαι δὲ ἀεί· οὐ γὰρ μεταβάλλειν ὅσα μεταβάλλει, εἰ μὴ κινοῖτο. Πυκνούμενον γὰρ καὶ ἀραιούμενον διάφορον φαίνεσθαι· ὅταν γὰρ εἰς τὸ ἀραιότερον διαχυθῇ, πῦρ γίνεσθαι,

sim a sole evaporatur. Alterius similitudinem animalis retulisse in principio hominem, nempe piscis. E tenuissimis et post segregationem a reliquis copiosius accumulatis, deinde motis aeris vaporibus ventos generari. Item e terra remittente ea quæ ex nubibus infra solem acceperit, pluviam venire : fulgura autem ope venti illabentis in nubes, easque disrumpentis. Hic tertio secundæ et quadragesimæ Olympiadis anno vixit.

VI. DE ANAXIMENE.

Anaximenes et ipse Milesius, Eurystrati filius, infinitum aera esse principium contendit : inde esse quæ sunt, quæ fuerunt, quæque futura sunt; sicut et deos et divina existere; cætera item ex horum progenie. Talem vero aeris speciem, quum maxime æquabilis est, effugere oculorum sensum, manifestari autem frigido et calido, tum humiditate et motu; sed moveri perpetuo : nec enim quas recipit admissurum mutationes, nisi moveretur. Densatum namque et extenuatum aliam atque aliam induere faciem. Quum dissolutus ad altiorem raritatis pervenerit gradum, producere ignem; ad mediocrem

4. Fortasse in verbis τῶν ὑφ' ἡλίου latet τῶν νεφελῶν; ceterum cf. conamina Rœp. p. 610. Schn. — Cap. VI, l. 9-10. τούτων Taur. — 14. γὰρ Rœp.; δὲ vulgo.

μέσως δὲ πάλιν εἰς ἀέρα πυκνούμενον ἐξ ἀέρος νέφος ἀποτελεῖσθαι κατὰ τὴν πίλησιν, ἔτι δὲ μᾶλλον ὕδωρ, ἐπὶ πλεῖον πυκνωθέντα γῆν, καὶ εἰς τὸ μάλιστα πυκνότατον λίθους. Ὥστε τὰ κυριώτατα τῆς γενέσεως ἐναντία εἶναι θερμόν τε καὶ ψυχρόν. Τὴν δὲ γῆν πλατεῖαν εἶναι ἐπ' ἀέρος ὀχουμένην, ὁμοίως δὲ καὶ ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα ἄστρα· πάντα γὰρ πύρινα ὄντα ἐποχεῖσθαι τῷ ἀέρι διὰ πλάτος. Γεγονέναι δὲ τὰ ἄστρα ἐκ γῆς διὰ τὸ τὴν ἰκμάδα ἐκ ταύτης ἀνίστασθαι, ἧς ἀραιουμένης τὸ πῦρ γίνεσθαι, ἐκ δὲ τοῦ πυρὸς μετεωριζομένου τοὺς ἀστέρας συνίστασθαι. Εἶναι δὲ καὶ γεώδεις φύσεις ἐν τῷ τόπῳ τῶν ἀστέρων συμφερομένας ἐκείνοις. Οὐ κινεῖσθαι δὲ ὑπὸ γῆν τὰ ἄστρα λέγει, καθὼς ἕτεροι ὑπειλήφασιν, ἀλλὰ περὶ γῆν, ὡσπερεὶ περὶ τὴν ἡμετέραν κεφαλὴν στρέφεται τὸ πιλίον, κρύπτεσθαί τε τὸν ἥλιον οὐχ ὑπὸ γῆν γενόμενον, ἀλλ' ὑπὸ τῶν τῆς γῆς ὑψηλοτέρων [13] μερῶν σκεπόμενον, καὶ διὰ τὴν πλείονα ἡμῶν αὐτοῦ γενομένην ἀπόστασιν. Τὰ δὲ ἄστρα μὴ θερμαίνειν διὰ τὸ μῆκος τῆς ἀποστάσεως· ἀνέμους δὲ γεννᾶσθαι, ὅταν ἐκπεπυκνωμένος ὁ ἀὴρ

vero, fieri aerem densiorem et ex aere effici nubem per concretionem; quum adhuc magis, aquam; aucta vero hac constipatione, terram; et quam fieri potest densissima compage constituta, lapides : adeo ut primaria generationis instrumenta reperiantur contraria, calidum videlicet et frigidum. Terram lata figura esse, aere vectam. Similiter etiam vehi solem et lunam et reliqua sidera. Hæc enim omnia quum sint ignea, subvehi aere ob latitudinem. Siderum ortum venisse e terra, ex qua attollitur halitus, quo extenuato, ignis emicat. Porro ex elevato sursum igne componi stellas. Terrestres etiam esse naturas in stellarum sede, quæ cum iisdem deferantur. Non tamen, ut putaverunt alii, subter terram dicit sidera commoveri, sed perinde ac circum caput nostrum vertitur pileum, circa terram verti. Nec eo quod versetur sub terra, solem abscondi; sed quod altioribus terræ partibus tegatur, et quod longiore a nobis intervallo iste distet. Non calefacere sidera, propter interstitii magnitudinem. Generari autem ventos, quum aer ab densitate

1. πάλιν Rœp.; ἐπὰν vulgo. — ἀποτελεῖσθαι Rœp.; ἀποτελεσθῆ vulgo. — 2. πίλησιν Salv.; πήλλησιν, πόλησιν reliqui. — 5. πλατεῖαν ἐπ' ἀέρος ὀχουμένην Barb. Ottob.; πλατεῖαν εἶναι ἐπ' ἀέρος ὀχουμένην Gronov. — 6. ἐπιχεῖσθαι Med. Ottob. — 10. Plutarch. *De Plac. philos.* II, XVI, utramque Anaximeni sententiam adscribit, nempe et ὑπὸ γῆν et περὶ γῆν κινεῖσθαι solem.

ἀραιωθεὶς φέρηται, συνελθόντα δὲ καὶ ἐπὶ πλεῖον παχυθέντα νέφη γεννᾶσθαι, καὶ οὕτως εἰς ὕδωρ μεταβάλλειν. Χάλαζαν δὲ γίνεσθαι, ὅταν ἀπὸ τῶν νεφῶν τὸ ὕδωρ καταφερόμενον παγῇ· χιόνα δὲ, ὅταν αὐτὰ ταῦτα ἐνυγρότερα ὄντα πῆξιν λάβῃ· ἀστραπὴν δ' ὅταν τὰ νέφη διϊσθῆται βίᾳ πνευμάτων· τούτων γὰρ διϊσταμένων λαμπρὰν καὶ πυρώδη γίνεσθαι τὴν αὐγήν. Ἶριν δὲ γεννᾶσθαι τῶν ἡλιακῶν αὐγῶν εἰς ἀέρα συνεστῶτα πιπλουσῶν· σεισμὸν δὲ, τῆς γῆς ἐπὶ πλεῖον ἀλλοιουμένης ὑπὸ θερμασίας καὶ ψύξεως. Ταῦτα μὲν οὖν Ἀναξιμένης. Οὗτος ἤκμασε περὶ ἔτος πρῶτον τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος.

ζ'. Περὶ Ἀναξαγόρου.

Μετὰ τοῦτον γίνεται Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος. Οὗτος ἔφη τὴν πάντὸς ἀρχὴν νοῦν καὶ ὕλην, τὸν μὲν νοῦν ποιοῦντα, τὴν δὲ ὕλην γινομένην. Ὄντων γὰρ πάντων ὁμοῦ, νοῦς ἐπελθὼν διεκόσμησεν. Τὰς δ' ὑλικὰς ἀρχὰς ἀπείρους ὑπάρχειν, καὶ τὰς σμικροτέρας αὐτῶν ἄπειρα λέγει. Κινήσεως δὲ μετέχειν τὰ πάντα ὑπὸ

nimia remissus, rarior deinde volat; quem coeuntem et spissius compressum gignere nubes, atque ita transire in aquam. Nasci grandinem, quum decidens e nubibus aqua compingitur; nivem vero, quum eædem istæ humidiores coagulum trahunt; fulgur autem, quando nubes violento ventorum impetu disrumpuntur. His enim disjunctis splendidum et igneum existere fulgorem. Iridem radiis solis in aera compactum incidentibus produci. Motum autem, terra nimis variam affectionem passa a calore et frigore. Hæc quidem igitur Anaximenes. Isque octavæ et quinquagesimæ olympiadis primo anno floruit.

VII. DE ANAXAGORA.

Secutus est hunc Anaxagoras, Hegesibuli filius, Clazomenius. Hic universi principium esse voluit mentem et materiam; mentem quidem facere, fieri materiam. Quum enim omnia simul essent, supervenisse mentem quæ digesserit in ordinem. Infinita autem esse principia materiarum. Quin et earum minutioribus attribuit infinitatem. Res omnes a mente motas fieri

1. παχυνθέντα Salvin. — 5. διϊσταται vulgo. — Cap. VII, l. 11. Ἡγησιφόντου Taurin. — 15. Conf. locum Simplic. in Arist. Phys. fol. 33 b, ex ipso initio libri: Ἀναξαγόρας λέγων ἀπ' ἀρχῆς· Ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν.

τοῦ νοῦ κινούμενα, συνελθεῖν τε τὰ ὅμοια. Καὶ τὰ μὲν κατὰ τὸν οὐρανὸν κεκοσμῆσθαι ὑπὸ τῆς ἐγκυκλίου κινήσεως. Τὸ μὲν οὖν πυκνὸν καὶ ὑγρὸν καὶ τὸ σκοτεινὸν καὶ ψυχρὸν καὶ πάντα τὰ βαρέα συνελθεῖν ἐπὶ τὸ μέσον, ἐξ ὧν παγέντων τὴν γῆν ὑποσληναι· τὰ δ' ἀντικείμενα τούτοις τὸ θερμὸν καὶ τὸ λαμπρὸν καὶ τὸ [14] ξηρὸν καὶ τὸ κοῦφον εἰς τὸ πρόσω τοῦ αἰθέρος ὁρμῆσαι. Τὴν δὲ γῆν τῷ σχήματι πλατεῖαν εἶναι καὶ μένειν μετέωρον διὰ τὸ μέγεθος καὶ διὰ τὸ μηδὲν εἶναι κενὸν καὶ διὰ τὸ τὸν ἀέρα ἰσχυρότατον ὄντα φέρειν ἐποχουμένην τὴν γῆν. Τῶν δ' ἐπὶ γῆς ὑγρῶν τὴν μὲν θάλασσαν ὑπάρξαι, τά τε ἐν αὐτῇ ὕδατα ἐξατμισθέντα... ὑποσλάντα οὕτως γεγονέναι καὶ ἀπὸ τῶν καταῤῥευσάντων ποταμῶν. Τοὺς δὲ ποταμοὺς καὶ ἀπὸ τῶν ὄμβρων λαμβάνειν τὴν ὑπόσλασιν καὶ ἐξ ὑδάτων τῶν ἐν τῇ γῇ. Εἶναι γὰρ αὐτὴν κοίλην καὶ ἔχειν ὕδωρ ἐν τοῖς κοιλώμασιν. Τὸν δὲ Νεῖλον αὔξεσθαι κατὰ τὸ θέρος καταφερομένων εἰς αὐτὸν ὑδάτων ἀπὸ τῶν ἐν τοῖς ἀρκτοῖς χιόνων. Ἥλιον δὲ καὶ σελήνην καὶ πάντα τὰ ἄσλρα λίθους εἶναι ἐμπύρους συμπεριληφθέντας ὑπὸ τῆς αἰθέρος περιφορᾶς.

consortes motus, et coire similia. Et cœlestia quidem fuisse exornata a circulari motu. Igitur medio loco quodcumque crassum et humidum, et obscurum, et frigidum, atque omnia gravia consociata fuisse, ex quibus concretis substitisse terram. His contraria calidum et lucidum, et siccum, et leve tetendisse in ulteriora aeris. Planam forma terram esse et partim ob molem, partim quod nullum detur vacuum, partim quod aer qui sit validissimus et invectam ei sustineat, commorari sublimem. E terrestribus humoribus mari primordium esse. Contentas in mari aquas quum e terræ vaporibus illic se congregantibus..., tum ex amnium defluxibus constitisse. Ipsorum amnium scaturiginem deberi partim imbribus, partim aquis comprehensis terræ gremio. Hanc etenim cavam esse et continere in cavernis aquas. Nilum quod e nivibus ad septentriones sitis ad eum devolvantur aquæ, per æstatem augeri. Solem, lunam, et omnia sidera esse ignitos et a rotato in gyrum æthere

3. βαρέα Salvin.; βαρεῖα vulgo. — 3-4. συνελθεῖν δὲ Med. — 10. Lacunosa verba sic restituit Rœperus : ἐξατμισθέντων ὑπὸ τοῦ ἡλίου ἐκείνων ὑποσλάντα. — 12. ὑδάτων Rœperus; αὐτῶν vulgo. — 15. ἀρκτοῖς vulgo; ἀντοίκοις Rœperus, p. 611-612, et Schneid. Ap. Plut. χιόνος τῆς ἐν τῇ Αἰθιοπίᾳ.

Εἶναι δ' ὑποκάτω τῶν ἄστρων ἥλιον καὶ σελήνην καὶ σώματά τινα συμπεριφερόμενα ἡμῖν ἀόρατα, τῆς δὲ θερμότητος μὴ αἰσθάνεσθαι τῶν ἄστρων διὰ τὸ μακρὰν εἶναι τὴν ἀπόστασιν τῆς γῆς· ἔτι δὲ οὐχ ὁμοίως θερμὰ τῷ ἡλίῳ διὰ τὸ χώραν ἔχειν ψυχροτέραν· εἶναι δὲ τὴν σελήνην κατωτέρω τοῦ ἡλίου πολυσιώτερον ἡμῶν. Ὑπερέχειν δὲ τὸν ἥλιον μεγέθει τὴν Πελοπόννησον. Τὸ δὲ φῶς τὴν σελήνην μὴ ἴδιον ἔχειν, ἀλλ' ἀπὸ τοῦ ἡλίου. Τὴν δὲ τῶν ἄστρων περιφορὰν ὑπὸ γῆν γίνεσθαι. Ἐκλείπειν δὲ τὴν σελήνην γῆς ἀντιφρατούσης, ἐνίοτε δὲ καὶ τῶν ὑποκάτω τῆς σελήνης, τὸν δὲ ἥλιον ταῖς νουμηνίαις σελήνης ἀντιφρατούσης. Τροπὰς δὲ ποιεῖσθαι καὶ ἥλιον καὶ σελήνην ἀπωθουμένους ὑπὸ τοῦ ἀέρος. Σελήνην δὲ πολλάκις τρέπεσθαι διὰ τὸ μὴ δύνασθαι κρατεῖν τοῦ ψυχροῦ. Οὗτος ἀφώρισε πρῶτος τὰ περὶ τὰς ἐκλείψεις καὶ φωτισμούς. Ἔφη δὲ γηΐνην εἶναι τὴν σελήνην ἔχειν τε [15] ἐν αὐτῇ πεδία καὶ φάραγγας. Τὸν δὲ γαλαξίαν ἀνάκλασιν εἶναι τοῦ φωτὸς τῶν ἄστρων τῶν μὴ καταλαμπομένων ὑπὸ τοῦ ἡλίου· τοὺς δὲ μεταβαίνοντας ἀστέρας ὡσεὶ σπινθῆρας ἀφαλλομέ-

circumvolutos una lapides. Sub astris vero solem et lunam et quædam oculis nostris invisibilia corpora circumferri. Siderum vero calorem non sentiri a nobis, quod ab illis longinquus sit recessus terræ. Eadem sole minus esse calida propter frigidiorem loci quem obtinent situm. Inferiorem sole lunam esse, nobis viciniorem. Solis magnitudine superari Peloponnesum. lunam non habere lumen proprium, sed a sole. Siderum subter terras perfici circuitum. Lunam itidem intercludente eam terra, nonnunquam et aliis luna inferioribus, idem facientibus, deficere. Hoc quoque per novilunia, luna obsepiente, contingere soli. Sole et luna per aerem abactis provenire solstitia. Lunam vero, quia nequit superare frigus, frequentius converti. Hic quæ spectant defectus et illuminationes primus definivit. Terream aiebat esse lunam et in se continere planities et valles. Circulumque lacteum esse reflectionem luminis siderum, quæ non illuminantur a sole. Stellas transi-

1. ἡλίου καὶ σελήνης vel καὶ ἡλίου κ. σ. conjicit Delarue. – καὶ σώματα Brandis; σώματα vulgo. Alia tentat Rœperus. — 3. τὸ μακρὰν εἶναι καὶ διὰ vulgo; καὶ διὰ delenda esse tautologia demonstrat. Schn. Aliter Rœp. p. 614. — 14. Τὸν δὲ Rœp.; Τόν τε vulgo. — 15. καταλαμβανομένων vulgo; καταλαμπομένων Gronov.

νους γίνεσθαι ἐκ τῆς κινήσεως τοῦ ϖόλου. Ἀνέμους δὲ γίνεσθαι λεπλυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου καὶ τῶν ἐκκαιομένων ϖρὸς τὸν ϖόλον ὑποχωρούντων καὶ ἀποφερομένων. Βροντὰς δὲ καὶ ἀσ|ραπὰς ἀπὸ Θερμοῦ γίνεσθαι ἐμπίπ|οντος εἰς τὰ νέφη. Σεισμοὺς δὲ γίνεσθαι τοῦ ἄνωθεν ἀέρος εἰς τὸν ὑπὸ γῆν ἐμπίπ|οντος· τούτου γὰρ κινουμένου καὶ τὴν ὀχουμένην γῆν ὑπ' αὐτοῦ σαλεύεσθαι. Ζῶα δὲ τὴν μὲν ἀρχὴν ἐν ὑγρῷ γενέσθαι, μετὰ ταῦτα δὲ ἐξ ἀλλήλων, καὶ ἄῤῥενας μὲν γίνεσθαι, ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀποκριθὲν τὸ σπέρμα τοῖς δεξιοῖς μέρεσι τῆς μήτρας κολληθῇ, τὰ δὲ Θήλεα κατὰ τοὐναντίον. Οὗτος ἤκμασεν ἔτους ϖρώτου τῆς ὀγδοηκοσ|ῆς ὀγδόης ὀλυμπιάδος, καθ' ὃν καιρὸν καὶ Πλάτωνα λέγουσι γεγενῆσθαι. Τοῦτον λέγουσι καὶ ϖρογνωσ|ικὸν γεγονέναι.

η'. Περὶ Ἀρχελάου.

Ἀρχέλαος τὸ μὲν γένος Ἀθηναῖος, υἱὸς δὲ Ἀπολλοδώρου. Οὗτος ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ τάς τε ἀρχὰς ὡσαύτως· οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα, εἶναι δ' ἀρχὴν τῆς κινή-

torias absilientium instar scintillarum ex poli motu prorumpere. Oriri ventos ex aere attenuato opera solis, illarumque particularum, quæ exustæ ad polum secedunt et deferuntur. A calidi in nubes illapsu tonitrua et fulgura oriri. Terræ motus fieri superioris delapsu aeris in inferiorem terra aerem. Namque hoc modo innatantem quoque concuti simul ab eo terram. Animalia quidem primo in humidis edita, mutua deinde ipsorum propagatione. Quum a dextris secretum partibus, dextris uteri partibus conglutinatur semen, generari mares; quum vice versa, feminas. Hic primo octavæ et octogesimæ Olympiadis anno, qua tempestate quoque vixisse aiunt Platonem, viguit. Addunt eum fuisse etiam futurorum præscium.

VIII. DE ARCHELAO.

Archelaus genere Atheniensis, filius Apollodori. Hic de materiæ mixtura deque principiis eamdem quam Anaxagoras sententiam tenuit. Sed idem menti inhærere statim aliquam mixturam, et esse motus principia, sece-

3. δὲ Rœp.; τε vulgo. — 5. ἐμπίπ|οντος Schaubach; ἐκπίπ|οντος vulgo. — 7. γεννᾶσθαι Barber. — Cap. VIII, l. 15. δ' ἀρχὴν] ἀρχὴν Rœp.; ἀρχὰς vulgo.

σεως τὸ ἀποκρίνεσθαι ἀπ' ἀλλήλων τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὸ μὲν θερμὸν κινεῖσθαι, τὸ δὲ ψυχρὸν ἠρεμεῖν. Τηκόμενον δὲ τὸ ὕδωρ εἰς μέσον ῥεῖν, ἐν ᾧ κατακαιόμενον ἀέρα γίνεσθαι καὶ γῆν, ὧν τὸ μὲν ἄνω φέρεσθαι, τὸ δὲ ὑφίστασθαι κάτω. Τὴν μὲν οὖν γῆν ἠρεμεῖν καὶ γενέσθαι διὰ ταῦτα, κεῖσθαι δ' ἐν μέσῳ οὐδὲν μέρος οὖσαν, ὡς (16) εἰπεῖν, τοῦ παντὸς, ἐκδεδομένον ἐκ τῆς πυρώσεως, ἀφ' οὗ πρῶτον ἀποκαιομένου τὴν τῶν ἀστέρων εἶναι φύσιν, ὧν μέγιστον μὲν ἥλιον, δεύτερον δὲ σελήνην, τῶν δὲ ἄλλων τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω. Ἐπικλιθῆναι δὲ τὸν οὐρανόν φησι, καὶ οὕτως τὸν ἥλιον ἐπὶ τῆς γῆς ποιῆσαι φῶς καὶ τόν τε ἀέρα ποιῆσαι διαφανῆ καὶ τὴν γῆν ξηράν. Λίμνην γὰρ εἶναι τὸ πρῶτον, ἅτε κύκλῳ μὲν οὖσαν ὑψηλήν, μέσον δὲ κοίλην. Σημεῖον δὲ φέρει τῆς κοιλότητος, ὅτι ὁ ἥλιος οὐχ ἅμα ἀνατέλλει τε καὶ δύεται πᾶσιν, ὅπερ ἔδει συμβαίνειν, εἴπερ ἦν ὁμαλή. Περὶ δὲ ζώων φησὶν ὅτι, θερμαινομένης τῆς γῆς τὸ πρῶτον ἐν τῷ κάτω μέρει, ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῶα πολλὰ καὶ ἀνόμοια πάντα τὴν αὐτὴν δίαιταν ἔχοντα

dere calidum et frigidum a se invicem, et calidum quidem moveri, frigidum vero quiescere. Colliquefactam aquam in medium fluere, ubi etiam exustum fieri aerem et terram. Illum sursum attolli, hanc deorsum subsidere. Quiescere proinde terram et trahere ex his originem. Eam vero quæ, ut sic dicam, nulla pars universi est, editam ab inflammatione, esse sitam in medio. Ex illo primum deusto existere naturam stellarum, in quibus maximum quidem solem, proximam magnitudine lunam, minora de cæteris esse alia, majora alia. Desuper autem incumbere cœlum dicit, et hac ratione illuminatam a sole terram, pellucidum quoque aerem factum, aridamque evasisse terram. Hanc enim in ambitu elevatam, in medio concavam, principio fuisse paludem. Et concavitatis affert signum, quoniam sol non simul omnibus oriatur et occidat: quod oportebat accidere siquidem foret plana et æqualis. De animalibus hæc in medium adducit. Calefacta primum terra in inferiore sede, ubi calidum et frigidum commiscebantur, copiosa inter se dissimilium, sed omnium

1. τὸ ἀποκρίνεσθαι H. Ritt.; ἀποκρίνεσθαι vulgo. — 3. κατακαιόμενον Rœp.; καὶ κατακαιόμενον vulgo. — 3-8. Cf. de hoc loco Rœper. p. 614. — 11. μέσον Barb. Ottob.; μέσου vulgo. — 15. κάτω μέρει H. Ritt.; κατὰ μέρος vulgo. — 16. ζῶα πολλὰ καὶ ἀνόμοια, fortasse legendum καὶ ἀνθρώπους; sic enim Laertius, II, 17.

ἐκ τῆς ἰλύος τρεφόμενα, ἦν δὲ ὀλιγοχρόνια· ὕστερον δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις ἀνέστη, καὶ διεκρίθησαν ἄνθρωποι ἀπὸ τῶν ἄλλων, καὶ ἡγεμόνας καὶ νόμους καὶ τέχνας καὶ πόλεις καὶ τὰ ἄλλα συνέστησαν. Νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζώοις ὁμοίως. Χρήσασθαι γὰρ ἕκαστον σῶμα τῷ νόῳ, τὸ μὲν βραδυτέρως, τὸ δὲ ταχυτέρως.

Ἡ μὲν οὖν φυσικὴ φιλοσοφία ἀπὸ Θάλητος ἕως Ἀρχελάου διέμεινε· τούτου γίνεται Σωκράτης ἀκροατής. Εἰσὶ δὲ καὶ ἕτεροι πλεῖστοι διαφόρους δόξας προενεγκάμενοι περί τε τοῦ θείου καὶ τῆς τοῦ παντὸς φύσεως· ὧν εἰ πάσας τὰς δόξας ἐβουλόμεθα παραθεῖναι, πολλὴν ἂν ὕλην βιβλίων ἔδει κατασκευάζειν. Ὧν δὲ ἔδει μάλιστα ἐπ' ὀνόματος ὄντων καὶ ὡς εἰπεῖν κορυφαίων πᾶσι τοῖς μετέπειτα φιλοσοφήσασι γενομένων [καὶ] ἀφορμὰς δεδωκότων [17] πρὸς τὰ ἐπιχειρούμενα ὑπομνησθέντες ἐπὶ τὰ ἑξῆς ὁρμήσομεν.

eodem utentium victu, cœnoque nutritorum, simul apparuit turba aliorum quoque animalium; eam brevis temporis fuisse turbam. Mox ex se invicem ipsis quoque progenies excitata est. Tum discretos a cæteris ait homines, ab iisque duces et leges et artes et civitates et reliqua constituta. Ingenitam universis animalibus statuit pari modo mentem; nam unumquodque etiam corpus ratione uti, aliud quidem tardius, aliud vero expeditius.

Physica ergo philosophia a Thalete ad Archelaum usque perduravit, qui Socratem habuit auditorem. Complures quidem et alii reperiuntur, variarum quum de Numine, tum de universi natura opinionum autores. Quorum si apponere singulas sententias in animum induceremus, comparanda librorum ingens esset silva. Postquam autem eorum meminimus, quorum præcipuam fieri oportebat mentionem, videlicet clarissimorum, et ut ita dicam omnium, qui coryphæi exstiterunt illis, quos postea philosophiæ operam navavisse legimus, qui etiam philosophandi præbuerunt materiam, ad illa quæ consequuntur pergamus.

2. συνέστη Ott. Taur. — 5. ὅσα Barb. Ottob.; ὅσῳ vulgo; ἕκαστον καὶ τῶν σωμάτων ὅσῳ vulgo; an Χρήσασθαι δὲ ἕκαστον κατὰ τὴν τῶν σωμάτων διαφορὰν τὸ μὲν κ. τ. λ.? Schn. Legendum esse censeo: σῶμα τῷ νόῳ quæ in σωμάτων ὅσῳ uncialibus litteris scriptis insunt, Σ solum deleto. Delenda etiam καὶ τῶν quæ ἕκαστον sequuntur et ex illius vocabuli extrema parte bis repetita maleque audita videntur provenire. — 8. προσενεγκάμενοι vulgo; προενεγκάμενοι Schneid. — 12. Addidi καί. — 13. ὁρμήσομεν Wolfius; ὁρμήσωμεν vulgo.

θ'. Περὶ Παρμενίδου.

Καὶ γὰρ καὶ Παρμενίδης ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀΐδιόν τε καὶ ἀγέννητον καὶ σφαιροειδές. Οὐδὲ αὐτὸς ἐκφεύγων τὴν τῶν πολλῶν δόξαν, πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς, τὴν μὲν γῆν ὡς ὕλην, τὸ δὲ πῦρ ὡς αἴτιον καὶ ποιοῦν, τὸν κόσμον ἔφη φθείρεσθαι, ᾧ δὲ τρόπῳ, οὐκ εἶπεν. Ὁ αὐτὸς δὲ εἶπεν ἀΐδιον εἶναι τὸ πᾶν καὶ οὐ γενόμενον, καὶ σφαιροειδές, καὶ ὅμοιον, οὐκ ἔχον δὲ τύπον ἐν ἑαυτῷ, καὶ ἀκίνητον καὶ πεπερασμένον.

ι'. Περὶ Λευκίππου.

Λεύκιππος δὲ Ζήνωνος ἑταῖρος οὐ τὴν αὐτὴν δόξαν διετήρησεν, ἀλλά φησιν ἄπειρα εἶναι [τὰ πάντα] καὶ ἀεὶ κινούμενα, καὶ γένεσιν καὶ μεταβολὴν συνεχῶς οὖσαν. Στοιχεῖα δὲ λέγει τὸ πλῆρες καὶ τὸ κενόν. Κόσμους δὲ γίνεσθαι λέγει οὕτως· ὅταν εἰς μέγα κε-

IX. DE PARMENIDE.

Nam et Parmenides unum quidem hoc universum æternumque et originis expers, ac sphærica indutum forma supposuit. Non tamen ipse declinans vulgarem plerorumque sententiam, siquidem ignem et terram universi principia statuit, terram quidem ut materiam, ignem vero ut causam et opificem, mundi confirmavit interitum, interitus vero tacuit modum. Sed et ipse asseveravit universum esse æternum, non procreatum, et sphærica ornatum figura, et simile, sed typo in se carens, et immotum, et denique finitum.

X. DE LEUCIPPO.

At vero Leucippus, Zenonis discipulus, in eadem sententia non perstitit: sed voluit infinita esse omnia, perpetuoque moveri, tum continuari generationem et mutationem. Elementa pleno definit et inani, aitque nasci mun-

Cap. IX, l. 5. Suspicor Parmenidis notitiam absolutam fuisse ab auctore nostro post *οὐκ εἶπεν* et reliqua verba addita esse ab altera manu. Eadem enim repetuntur quæ leguntur supra l. 1, 2. Conf. Rœper. p. 615. — 6. *τύπον* Brandis, *Comment. Eleatic.* p. 146; *τόπον* vulgo. — Cap. X, l. 9. Addidi *τὰ πάντα* ex Diog. Laert. IX, 30. — 11. *γίνεσθαι* Rœp.; *γενέσθαι* vulg. — *οὕτως· ὅτων* Rœp.; *ὅταν* vulgo. — *μέγα κενὸν* Rœp.; *μετάκοινον* vulgo; *μετάκενον* Salv. Laertius in Leucippo dicit: *τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπλόντων.*

νὸν ἐκ τοῦ περιέχοντος ἀθροισθῆ πολλὰ σώματα καὶ συρρυῆ, προσκρούοντα ἀλλήλοις συμπλέκεσθαι τὰ ὁμοιοσχήμονα καὶ παραπλήσια τὰς μορφάς, καὶ περιπλεχθέντων αὖθις ἕτερα γίνεσθαι, αὔξειν δὲ καὶ φθίνειν διά τινα ἀνάγκην. Τίς δ' ἂν εἴη ἡ ἀνάγκη, οὐ διώρισεν.

ια'. Περὶ Δημοκρίτου.

Δημόκριτος δὲ Λευκίππου γίνεται γνώριμος. Δημόκριτος Δαμασίππου, Ἀβδηρίτης, πολλοῖς συμβαλὼν γυμνοσοφισταῖς ἐν Ἰνδοῖς, καὶ ἱερεῦσιν ἐν Αἰγύπτῳ καὶ ἀστρολόγοις, καὶ ἐν Βαβυλῶνι μάγοις. Λέγει δὲ ὁμοίως Λευκίππῳ περὶ στοιχείων, πλήρους καὶ κενοῦ, τὸ μὲν πλῆρες λέγων ὄν, τὸ δὲ κενόν, οὐκ ὄν· ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ· ἀπείρους δὲ εἶναι [18] κόσμους καὶ μεγέθει διαφέροντας, ἔν τισι δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἔν τισι δὲ μείζω τῶν παρ' ἡμῖν, καὶ ἔν τισι πλείω. Εἶναι δὲ τῶν κόσμων

dos, quum multa ex parte ambiente corpora in medium ac commune coacervantur et confluunt, impacta sibi invicem affigi et coalescere ea, quæ sunt similis figuræ et formis convenientia, eadem rursus inter se connexa in alia redigi : incrementum vero et interitum fieri necessaria de causa; sed ea quæ foret necessitas non definivit.

XI. DE DEMOCRITO.

Democritus Leucippi discipulus fuit. Democritus, Damasippi filius, Abderites, compluribus in India gymnosophistis, in Ægypto sacerdotibus et astrologis, item Babylone magis adfuit. De elementis, pleno et vacuo, cum Leucippo eadem dicit, plenum quidem vocans id quod est, et vacuum id quod non est. Ea quæ sunt perpetuo motu in vacuo concitari docuit. Infinitos esse et magnitudine inæquales mundos, nonnullos ut sole sic luna destitutos, in quibusdam utrumque majorem nostris, et in aliis plures. Inæqualia esse inter

3. περιπλεχθέντων εἰς ἕτερα vulgo. Hæc depromuntur ex loco Diogenis Laertii, IX, 31, unde Rœp. τὰ δὲ μὴ περιπλεχθέντα conjicit, p. 617 ; lego αὖθις loco εἰς. Hic de continua rerum mutatione agitur; cf. Laert. IX, 30-32. — 4. διά τινα Rœp. e Diogene Laertio, IX, 32 ; διὰ τὴν vulgo. — Cap. XI, l. 6. Ἀβδηρίτης M. ; Αὐδηρίτης vulgo. — 10. ἀπείρους. Integrum locum usque ad finem hujus sectionis attulit Menagius in commentario ad Laert. IX, 44.

ἄνισα τὰ διαστήματα, καὶ τῇ μὲν πλείους, τῇ δὲ ἐλάττους, καὶ τοὺς μὲν αὔξεσθαι, τοὺς δὲ ἀκμάζειν, τοὺς δὲ φθίνειν, καὶ τῇ μὲν γίνεσθαι, τῇ δὲ ἐκλείπειν. Φθείρεσθαι δὲ αὐτοὺς ὑπ' ἀλλήλων προσπίπτοντας. Εἶναι δὲ ἐνίους κόσμους ἐρήμους ζώων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ. Τοῦ δὲ παρ' ἡμῖν κόσμου πρότερον τὴν γῆν τῶν ἄστρων γενέσθαι, εἶναι δὲ τὴν μὲν σελήνην κάτω, ἔπειτα τὸν ἥλιον, εἶτα τοὺς ἀπλανεῖς ἀστέρας. Τοὺς δὲ πλάνητας οὐδ' αὐτοὺς ἔχειν ἴσον ὕψος. Ἀκμάζειν δὲ κόσμον, ἕως ἂν μηκέτι δύνηται ἔξωθέν τι προσλαμβάνειν. Οὗτος ἐγέλα πάντα, ὡς γέλωτος ἀξίων πάντων τῶν ἐν ἀνθρώποις.

ιϐ'. Περὶ Ξενοφάνους.

Ξενοφάνης δὲ ὁ Κολοφώνιος Ὀρθομένους υἱός. Οὗτος ἕως Κύρου διέμεινεν. Οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων, εἰπὼν οὕτως·

εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
αὐτὸς ὅμως οὐκ οἶδε, δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

se mundorum intervalla, et plures alibi, alibi pauciores. Hos augescere, illos in vigore esse, vergere quosdam ad interitum : et hic quidem nasci, illic vero deficere. Interitum alteri ab altero afferri impingendo. Esse inter eos, qui careant animantibus et plantis et omni humore. In hoc autem nostro mundo terram astris priorem emersisse. Lunam sede infimam, solem ultra hanc proximum, stellas fixas remotissimas. Neque parem planetis inter se altitudinem. Florere mundum, usquedum foris incrementi nihil adipisci possit amplius. Hic dignas risu res omnes existimans humanas nihil non derisit.

XII. DE XENOPHANE.

Xenophanes Colophonius, Orthomenis filius. Hic ad Cyrum usque produxit ætatem. Primus ex illorum fuit cohorte, qui nihil dixerunt cadere sub comprehensionem; sic enim ipse :

Licet maxime definitum dixerit quis,
ipse tamen nescit, sed in omnibus opinio est.

3. ἐκλείπειν H. Ritt.; λείπειν vulgo. — Cap. XII, l. 14-15. Conf. Karsten fragm. XIV, p. 51. — 14. τύχῃ vulgo. Menagius legit τύχοι, quæ lectio plerisque, et nominatim Sexto Empirico, placuit haud dubie, ideo quod ea genio linguæ græcæ magis respondere videatur. Wolfius.

Λέγει δὲ ὅτι οὐδὲν γίνεται οὐδὲ φθείρεται οὐδὲ κινεῖται, καὶ ὅτι ἓν τὸ πᾶν ἐστιν ἔξω μεταβολῆς. Φησὶ δὲ καὶ τὸν Θεὸν εἶναι ἀΐδιον, καὶ ἕνα, καὶ ὅμοιον πάντη, καὶ πεπερασμένον, καὶ σφαιροειδῆ, καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν. Τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκάστην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι, καὶ μήτε ὑπ' ἀέρος, μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. Καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς. Οὗτος τὴν θάλασσαν ἁλμυρὰν ἔφη διὰ τὸ πολλὰ μίγματα συῤῥέειν ἐν αὐτῇ· ὁ δὲ Μητρόδωρος [19] διὰ τὸ ἐν τῇ γῇ διηθεῖσθαι, τούτου χάριν γίνεσθαι ἁλμυράν· ὁ δὲ Ξενοφάνης μῖξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γενέσθαι δοξάζει καὶ τῷ χρόνῳ ἀπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν, ἐν δὲ Πάρῳ τύπον ἀφύης ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῃ πλάκας συμπάντων θαλασσίων. Ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ

Nihil autem generari sentiebat, aut interire, aut moveri, et unum hoc universum esse mutationis expers. Deum quoque æternum, unum, undique similem, non finitum, rotundum, omnibus partibus sensui manifestum. Solem e minutorum coacervatione igniculorum singulis generari diebus. Infinitam, nec aere, nec cœlo circumdatam terram. Innumeros quum soles, tum lunas. Universa autem esse ex terra. Hic et salsum ideo mare dixit, quod magna mixtorum in eo confluat copia. At Metrodorus hanc salsedinis afferebat rationem, quod percolaretur per terram. Porro Xenophanes statuebat commisceri terram mari; opinatur etiam tempore ab humido dissolvi, hujusmodi producens documenta, quod in media terra reperirentur conchæ, etiam in montibus. Sed et Syracusis in lapidicinis esse repertum piscis et phocarum typum, in Paro autem in profunditate rupis formam pisciculi, etiam cujuslibet marini generis crustas in Melito. Hæc ab eo ait superesse tempore quo omnia limo fuerunt obducta. Nam in limo exsiccatum esse typum.

3. *οὐ πεπερασμένον* Wolfius. — 8. *σύρειν ἐν ἑαυτῇ* Rœp. — 11. *γίνεσθαι* vulg. — *δοξάζει*] *δοκεῖ* vulg. — 14. *ἀφύης* Gronovius; *δάφνης* Car. Delarue. — 15. *Μελίτῃ* Karst.; *Μελίτῳ* vulgo. — 16. *ἀπηλάθησαν* Ottob.; *ἐπελάθησαν* Med.

ξηρανθῆναι, ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ τοῦτο πᾶσι τοῖς κόσμοις γίνεσθαι καταβολήν.

ιγ'. Περὶ Ἐκφάντου.

Ἔκφαντός τις Συρράκούσιος ἔφη μὴ εἶναι ἀληθινὴν τῶν ὄντων λαβεῖν γνῶσιν. Ὁρίζει δὲ, ὡς νομίζει τὰ μὲν πρῶτα ἀδιαίρετα εἶναι σώματα, καὶ παραλλαγὰς αὐτῶν τρεῖς ὑπάρχειν, μέγεθος, σχῆμα, δύναμιν, ἐξ ὧν τὰ αἰσθητὰ γίνεσθαι. Εἶναι δὲ τὸ πληθος αὐτῶν ὡρισμένον καὶ τοῦτο ἄπειρον. Κινεῖσθαι δὲ τὰ σώματα μήτε ὑπὸ βάρους μήτε πληγῆς, ἀλλ' ὑπὸ θείας δυνάμεως, ἣν νοῦν καὶ ψυχὴν προσαγορεύει. Τούτου μὲν οὖν τὸν κόσμον εἶναι ἰδέαν, δι' ὃ καὶ

Porro cunctos tolli homines, quum delata in mare terra convertitur in limum; postea illos renasci ex integro, et hoc, ait, omnibus mundis esse principium.

XIII. DE ECPHANTO.

Ecphantus Syracusius negat fieri posse ut veram rerum notitiam adipiscamur. Definit autem, quemadmodum existimat, prima corpora esse individua, et tres eorum differentias existere: magnitudinem, formam et potestatem; oriri ex his, quæ sensibus obvia; certum et infinitum eorum numerum; corpora non gravitate nec impulsu, sed divina, quam mentem vocat et animam, moveri potentia. Itaque hujus imaginem esse mundum.

1. ἀναιρεῖσθαι] melius ἀνηρῆσθαι. — 3. καταβολὴν Rœp. p. 619; καταβάλλειν vulgo; μεταβάλλειν Wolfius. — CAP. XIII, l. 5. Si quid tribuendum sit paraphrastæ, sequentia verba ὁρίζει δὲ ὡς νομίζει τὰ μὲν πρῶτα probationis loco ad priora referenda erunt, quibus Ecphantus dicebatur omnem veri sententiam sustulisse, quia unusquisque ita judicet, prout ipsius ferat opinio sive sententia. Paraphrastes enim ita habet: ὅτι καὶ Ἔκφαντος μὴ εἶναι γνῶσιν ἀληθῆ τῶν ὄντων λαβεῖν ἐδόξασεν, ἀλλ' ἕκαστος ὁρίζει ὡς νομίζει τὰ πράγματα. Et sane hæc rectius sibi constare videntur, quam si verba ista conjungantur tanquam scriptoris nostri cum sequentibus: ὁρίζει δὲ ὡς νομίζει τὰ μὲν πρῶτα, etc. Sic itaque excidisset vox ἕκαστος, sequentia autem ab his τελείᾳ σλιγμῇ sejuncta Ecphanti doctrinas ordine exponere censenda essent: τὰ μὲν πρῶτα, etc. Wolf. — 7-8. Cf. Rœp. p. 619-620. An ὡρισμένων κατὰ τοῦτο, ἄπειρον? Schneid. Mallem καὶ οὐκ ἄπειρον. — 10. Τούτου Rœper.; τοῦ vulgo. — εἶναι ἰδέαν Rœper. p. 620; εἰδέναι ἰδεῖν vulgo.

σφαιροειδῆ ὑπὸ θείας δυνάμεως γεγονέναι. Τὴν δὲ γῆν μέσον κόσμου κινεῖσθαι περὶ τὸ αὐτῆς κέντρον ὡς πρὸς ἀνατολήν.

ιδ'. Περὶ Ἵππωνος.

Ἵππων δὲ ὁ Ῥηγῖνος ἀρχὰς ἔφη ψυχρὸν τὸ ὕδωρ καὶ [20] θερμὸν τὸ πῦρ. Γενόμενον δὲ τὸ πῦρ ὑπὸ ὕδατος κατανικῆσαι τὴν τοῦ γεννήσαντος δύναμιν, συστῆσαί τε τὸν κόσμον. Τὴν δὲ ψυχὴν ποτὲ μὲν ἐγκέφαλον ἔφη εἶναι, ποτὲ δὲ ὕδωρ, καὶ γὰρ τὸ σπέρμα εἶναι τὸ φαινόμενον ἡμῖν ἐξ ὑγροῦ, ἐξ οὗ φησι ψυχὴν γίνεσθαι.

Ταῦτα μὲν οὖν ἱκανῶς δοκοῦμεν παρατεθεικέναι. Διὸ δοκεῖ λοιπὸν αὐτάρκως διαδραμόντων ἡμῶν τὰ τοῖς φυσικοῖς δόξαντα, ἀναδραμεῖν ἐπὶ Σωκράτην καὶ Πλάτωνα, οἳ τὸ ἠθικὸν μάλιστα προετίμησαν.

ιε'. Περὶ Σωκράτους.

Ὁ μὲν οὖν Σωκράτης γίνεται Ἀρχελάου τοῦ φυσικοῦ ἀκροατής· ὃς τὸ γνῶθι σαυτὸν προτιμήσας καὶ μεγαλην σχολὴν συστήσας ἔσχε

ac propterea divinæ ope potentiæ sphærica concinnatum esse forma : terram autem medium mundi moveri circa centrum suum orientem versus.

XIV. DE HIPPONE.

Hippo Rheginus principia dixit frigidum, quod sit aqua, et calidum, quod sit ignis. Procreatum ex aqua ignem, superasse potentiam ejus, unde genitus fuit, et composuisse mundum. Animam dixit esse modo cerebrum, modo aquam. Namque semen id quod nobis apparet esse ex humore, unde ait animam gigni.

Hæc igitur satis exposuisse videmur. Quapropter cum percurrendis physicorum opinionibus satis multum impenderimus, quod reliquum videtur, ad Socratem recurrimus et Platonem, quibus ea magis placuerunt quæ ad mores spectant.

XV. DE SOCRATE.

Socrates igitur Archelai physici fuit auditor. Is illud, «Nosce te ipsum» præ omnibus amplexus, magnæ conditor scholæ e tota discipulorum caterva

1. θείας] μιᾶς vulgo. — CAP. XIV, l. 4. Γενόμενον Rœp.; Γεννώμενον vulg. — κατανικῆσαι Taur.; κατανικῆσαν reliqui codd. — 6. ἔφη εἶναι Rœp. p. 621; ἔχειν vulgo. — γὰρ Bakhuizen van den Brink, *Var. lect. ex hist. philos. ant.* p. 47, 52; παρὰ vulgo.

πάντων τῶν μαθητῶν ἱκανώτερον τὸν Πλάτωνα, αὐτὸς μὲν μηδὲν σύγγραμμα καταλιπών. Ὁ δὲ Πλάτων τὴν πᾶσαν αὐτοῦ σοφίαν ἀπομαξάμενος συνέσ]ησε τὸ διδασκαλεῖον μίξας ὁμοῦ Φυσικήν, ἠθικήν, διαλεκτικήν. Ἃ δὲ ὁ Πλάτων ὁρίζει, ἐσ]ὶ ταῦτα.

ις'. Περὶ Πλάτωνος.

Πλάτων ἀρχὰς εἶναι τοῦ παντὸς Θεὸν καὶ ὕλην καὶ παράδειγμα· Θεὸν μὲν τὸν ποιητὴν καὶ διακοσμήσαντα τόδε τὸ πᾶν καὶ προνοούμενον αὐτοῦ· ὕλην δὲ τὴν πᾶσιν ὑποκειμένην, ἣν καὶ δεξαμενὴν καὶ τιθήνην καλεῖ, ἐξ ἧς διακοσμηθείσης γενέσθαι τὰ τέσσαρα σ]οιχεῖα, ἐξ ὧν συνέσ]ηκεν ὁ κόσμος, πυρός, ἀέρος, γῆς, ὕδατος, ἐξ ὧν καὶ τὰ ἄλλα πάντα συγκρίματα καλούμενα[21], ζῶά τε καὶ φυτὰ συνεσ]ηκέναι. Τὸ δὲ παράδειγμα τὴν διάνοιαν τοῦ Θεοῦ εἶναι, ὃ καὶ ἰδέας καλεῖ, ᾧ οἷον εἰκονίσματι προσέχων ἐν τῇ ψυχῇ ὁ Θεὸς τὰ

excellentissimum habuit Platonem : quum litteris consignatum nihil ipse reliquerit, Plato universa ejus sapientia expressa ornavit scholam permixtis simul physicis, ethicis et dialecticis. Quæ autem definivit Plato, sunt ista :

XVI. DE PLATONE.

Totius Plato universi principia facit Deum et materiam et exemplar; Deum videlicet opificem et qui digesserit hoc universum, eique provideat; materiam vero, universam subjectam, quam et receptaculum vocat et nutricem : ex qua digesta provenisse quatuor elementa, ex quibus, igne nempe, aere, terra et aqua, constitit mundus, unde omnia, ut vocantur, coagula, quum animalia, tum plantæ, sint constructa. Exemplar vero Dei cogitationem esse, quam et ideas appellat, cui velut exemplo et imagini incumbens Deus in

1-2. *μηδὲν σύγγραμμα* Rœper.; *μηδὲ συγγράμματα* vulgo. — 2-3. *ἀπομαξάμενος*. Similem phrasim de re non dissimili usurpat Laertius, II, 61, ubi *τοὺς τὸ Σωκρατικὸν ἦθος ἀπομεμαγμένους* commemorat. Wolfius. — 4. *ὁρίζει, ἐσ]ὶ* Rœp.; *ὁρίζεται* vulgo. — Cap. XVI, l. 5. Exciditne alicubi *ἔφη* vel *φησίν*? Schneid. Conf. de hoc loco Laertium, III, 69. — 7. *πᾶσιν* Rœp.; *πᾶσαν* vulgo. – *ἣν δὲ καὶ* Med.; *ἣν δὴ καὶ* Rœp. – *δεξαμενὴν* Med.; *δεξαμένην* reliqui codd. Conf. Lobeck. ad Phrynichum, p. 322, et Gatakerum ad Antonin. VII, 3. — 10. *συγκράματα* Taur. — 12. *ἰδέαν* Gronovius; *ἰδέας* codd.; *ᾧ οἷον* Rœper.; *οἷον* vulgo. Gronov. edidit *οἱονεὶ κονίσματι* et vertit « velut arenato. » Paraphrastes ita reddit : *τάς τε ἰδέας τὴν διάνοιαν λέγει τοῦ Θεοῦ πρὸς ἣν ἀποβλέπων ὡς πρὸς παράδειγμα ἐκόσμει τὰ πάντα.*

πάντα ἐδημιούργει. Τὸν μὲν Θεόν φησιν ἀσώματόν τε καὶ ἀνείδεον καὶ μόνοις σοφοῖς ἀνδράσι καταληπτὸν εἶναι· τὴν δὲ ὕλην δυνάμει μὲν σῶμα, ἐνεργείᾳ δὲ οὐδέπω· ἀσχημάτιστον γὰρ αὐτὴν οὖσαν καὶ ἄποιον, προσλαβοῦσαν σχήματα καὶ ποιότητας γενέσθαι σῶμα. Τὴν μὲν οὖν ὕλην ἀρχὴν εἶναι καὶ σύγχρονον τῷ Θεῷ ταύτην, καὶ ἀγέννητον τὸν κόσμον. Ἐκ γὰρ αὐτοῦ συνεστάναι φησὶν αὐτόν. Τῷ δὲ ἀγεννήτῳ ἀκολουθεῖν πάντως καὶ τὸ ἄφθαρτον. Ἡ δὲ σῶμά τε καὶ ἐκ πολλῶν ποιοτήτων καὶ ἰδεῶν συγκείμενον ὑποτίθεται, ταύτῃ καὶ γεννητὸν καὶ φθαρτόν. Τινὲς δὲ τῶν Πλατωνικῶν ἀμφότερα ἔμιξαν, χρησάμενοι παραδείγματι τοιούτῳ· ὅτι ὥσπερ ἅμαξα δύναται ἀεὶ διαμένειν ἄφθαρτος κατὰ μέρος ἐπισκευαζομένη, κἂν τὰ μέρη φθείρηται ἑκάστοτε, αὐτὴ δὲ ὁλόκληρος ἀεὶ μένει· τοῦτον τὸν τρόπον καὶ ὁ κόσμος κατὰ μέρη μὲν εἰ καὶ φθείρεται, ἐπισκευαζομένων δὲ καὶ ἀντανισουμένων τῶν ἀφαιρουμένων ἀΐδιος μένει. Τὸν δὲ Θεὸν οἱ μὲν ἕνα φασὶν αὐτὸν εἰπεῖν ἀγέννητον καὶ ἄφθαρτον, ὡς λέγει ἐν τοῖς Νόμοις· « ὁ μὲν δὴ Θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε

anima affabre tanquam architectus efformavit omnia. Deum esse sine corpore, forma carere, a sapientibus tantum viris comprehendi posse. Materiam potestate quidem esse corpus, nondum vero actu: nam informem plane per se et nullis vestitam qualitatibus evadere corpus postquam formas et qualitates adsciverit. Materiam igitur esse principio, eamque æquævam Deo, et sine creatione mundum. Ex se quippe constare illum censet. Consequens autem esse prorsus, ut idem quod ortum non habet, etiam interitu careat. Quatenus autem et corpus et ex multis qualitatibus ac formis compositum fingitur, eatenus et generari et corruptioni esse obnoxium. Verum Platonici quidam hujusmodi usi exemplo utrumque confuderunt. Velut plaustrum conservare integritatem potest assiduo particulatim instauratum, licet partes identidem pereant, ipsum tamen integrum semper manet, hunc in modum mundus, etsi per partes perit, illis quæ auferuntur instauratis et compensatis manet æternus. Deum alii unum, sine ortu, sine interitu, statuisse eum aiunt: sic enim in Legibus: «Deus vero, ut etiam dixere veteres, omnium possidens

5. ταύτην vulgo; ταύτῃ Schn. — 6. αὐτῆς Rœp.; αὐτοῦ vulgo. — 13. μὲν εἰ καὶ] μένει καὶ vulgo; μὲν Rœp. — 13-14. δὲ καὶ Rœp.; καὶ vulgo. — 16. δὴ] δὲ vulgo.

« καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχει. » Οὕτως ἕνα αὐτὸν τὸν διὰ πάντων κεχωρηκότα ἀποφαίνεται. Οἱ δὲ καὶ πολλοὺς, ἀορίστως, ὅταν λέγῃ· « Θεὸς θεῶν, ὧν ἐγὼ δημιουργός τε καὶ πατήρ. » Οἱ δὲ καὶ ὡρισμένους, ὅταν λέγῃ, « ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς « πληνὸν ἅρμα ἐλαύνων, » καὶ ὅταν γενεαλογῇ τοὺς Οὐρανοῦ παῖδας καὶ Γῆς. Οἱ δὲ συστήσασθαι μὲν αὐτὸν θεούς γενητούς, καὶ διὰ μὲν τὸ γεγενῆσθαι [22] πάντως αὐτοὺς φθαρῆναι ἀνάγκην ἔχειν, διὰ δὲ τὴν βούλησιν τοῦ Θεοῦ ἀθανάτους εἶναι, ἐν ᾧ προσθεὶς λέγει· « Θεὸς « θεῶν, ὧν ἐγὼ δημιουργός τε καὶ πατήρ, ἄλυτα ἐμοῦ γ' ἐθέλοντος, » ὡς ἂν εἰ λυθῆναι αὐτὰ θέλοι, ῥᾳδίως λυθησόμενα. Δαιμόνων δὲ φύσεις ἀποδέχεται, καὶ τοὺς μὲν ἀγαθοὺς εἶναι φησὶν αὐτῶν, τοὺς δὲ φαύλους. Καὶ τὴν ψυχὴν οἱ μὲν φασὶν αὐτὸν ἀγένητον λέγειν καὶ ἄφθαρτον, ὅταν λέγῃ· « ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον « ἀθάνατον· » καὶ ὅταν αὐτοκίνητον αὐτὴν ἀποδεικνύῃ καὶ ἀρχὴν κινήσεως. Οἱ δὲ γενητὴν μέν, ἄφθαρτον δὲ διὰ τὴν τοῦ Θεοῦ βούλησιν. Οἱ δὲ σύνθετον καὶ γενητὴν καὶ φθαρτήν· καὶ γὰρ κρατῆρα αὐτῆς

« ἀνθρώπων, εἴτε Κουρῆτες ἦσαν Ἰδαῖοι, θεῖον γένος, ἢ Φρύγιοι « Κορύβαντες, οὓς πρώτους ἥλιος ἔπιδε δενδροφυεῖς ἀναβλασ[τ]άνον- « τας, εἴτε προσεληναῖον Ἀρκαδία Πελασγόν, ἢ Ῥαρίας οἰκήτορα « Δίαυλον Ἐλευσίν, ἢ Λῆμνος καλλίπαιδα Κάβιρον ἀῤῥήτων ἐτέκνω- « σεν ὀργιασμῶν, εἴτε Φελλήνη Φλεγραῖον Ἀλκυονέα, πρεσβύτατον « Γιγάντων. Λίβυες δὲ Ἰάρβαντα φασὶ πρωτόγονον αὐχμηρῶν ἀνα- « δύντα πεδίων γλυκείας ἀπάρξασθαι Διὸς βαλάνου. Αἰγυπ[τ]ίων δὲ « Νεῖλος ἰλὺν ἐπιλιπαίνων μέχρι σήμερον ζωογονῶν, φησίν, ὑγρᾷ « σαρκούμενα θερμότητι ζωὰ σώματα ἀναδίδωσιν. » Ἀσσύριοι δὲ Ὠαννὴν ἰχθυοφάγον γενέσθαι παρ' αὐτοῖς, Χαλδαῖοι δὲ τὸν Ἀδάμ. Καὶ τοῦτον εἶναι φάσκουσι τὸν ἄνθρωπον, ὃν ἀνέδωκεν ἡ γῆ μόνον, κεῖσθαι δὲ αὐτὸν ἄπνουν, ἀκίνητον, ἀσάλευτον, ὡς ἀνδριάντα, εἰκόνα ὑπάρχοντα ἐκείνου τοῦ ἄνω, τοῦ ὑμνουμένου Ἀδάμαντος ἀνθρώπου,

« emerserit primus homo, an Curetes orti de monte Ida, divinum genus, « Corybantesve Phrygii primi sint quos sol viderit arborum ritu nascentes « et germinantes, an Arcadia Pelasgum ante lunam creatum genuerit, an « Eleusis Diaulum incolam Rariæ, an Lemnus Cabirum genuerit pulcherri- « mum puerum arcanorum mysteriorum, an Pallene Phlegræum Alcyonea « gigantum antiquissimum. Libyes autem aiunt primogenitum Iarbantem « emersum ex limosis campis carpsisse glandem Jovis dulcissimum fructum. « In Ægypto vero etiam nunc Nilus limum fecundans et animantia gene- « rans, corpora viventia humido carnata vapore prodit. » Assyrii vero Oannem ichthyophagum fuisse ortum apud se dicunt; Chaldæi Adamum, atque eum esse aiunt hominem quem terra solum protulerit; jacere vero eum anima carentem, immobilem, omnis motus expertem, veluti statuam, imaginem illius hominis superni qui Adami nomine cantatur, factum a potestatibus

1. ἦσαν Ἰδαῖοι] ἢ σανίδαι οἱ cod. — 2. πρῶτος cod. corr. Millerus. – ἔφιδε cod. inter lin. posito π. — 3. πρὸς σεληναῖον Ἀρκάδα διὰ Πελασγὸν cod. corr. Millerus. – ἢ Ῥαρίας G. Hermannus; ἠραρυίας cod. — 5. ὀργιασμῷ cod. corr. Mill.; ὀργίων Hermannus. — 6. Λίβες δὲ Τάρβαντα cod. — 7. πεδίω cod. corr. Mill. — 8. ἰλὺν Mill.; ὕλην cod. — 8-9. ὑγρᾶς ἀρκούμενα cod. corr. Mill. — 9. ζωὰ σώματα] ζῷα καὶ σῶμα cod. — 10. Ἰαννὴν cod. Mill. Conf. Berosi *Chaldæorum historiæ quæ supersunt*, edit. Richter. p. 48-49, et quam edidimus disquisitionem de Flavii Josephi in auctoribus contra Apionem allatis auctoritate (Parisiis, 1844), cap. v, de Beroso, § 5; de Oanne, p. 48-49. — 12. ἀνδριάντος cod.

γενόμενον ὑπὸ δυνάμεων τῶν πολλῶν, περὶ ὧν ὁ κατὰ μέρος λόγος ἐστὶ πολύς. Ἵν' οὖν τελέως ᾖ κεκρατημένος ὁ μέγας ἄνθρωπος ἄνωθεν, ἀφ' οὗ, καθὼς λέγουσι, «πᾶσα πατριὰ ὀνομαζομένη ἐπὶ γῆς «καὶ ἐν τοῖς οὐρανοῖς» συνέστηκεν, ἐδόθη αὐτῷ καὶ ψυχή, ἵνα διὰ τῆς ψυχῆς πάσχῃ καὶ κολάζηται καταδουλούμενον «τὸ πλάσμα τοῦ «μεγάλου καὶ καλλίστου καὶ τελείου ἀνθρώπου·» καὶ γὰρ οὕτως αὐτὸν καλοῦσι. Ζητοῦσιν οὖν αὖ πάλιν τίς ἐστιν ἡ ψυχὴ καὶ πόθεν καὶ ποταπὴ τὴν φύσιν, ἵν' ἐλθοῦσα εἰς τὸν ἄνθρωπον καὶ κινήσασα καταδουλώσῃ καὶ κολάσῃ [98] τὸ πλάσμα τοῦ τελείου ἀνθρώπου· ζητοῦσι δὲ οὐκ ἀπὸ τῶν γραφῶν, ἀλλὰ καὶ τοῦτο ἀπὸ τῶν μυστικῶν. Εἶναι δέ φασι τὴν ψυχὴν δυσεύρετον πάνυ καὶ δυσκατανόητον· οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς πάντοτε οὐδὲ πάθους ἑνός, ἵνα τις αὐτὴν ἢ τύπῳ εἴπῃ ἢ οὐσίᾳ καταλήψεται. Τὰς δὲ ἐξαλλαγὰς ταύτας τὰς ποικίλας ἐν τῷ ἐπιγραφομένῳ κατ' Αἰγυπτίους εὐαγγελίῳ κειμένας ἔχουσιν. Ἀποροῦσιν οὖν, καθάπερ οἱ ἄλλοι πάντες τῶν ἐθνῶν ἄνθρωποι, πότερόν ποτε ἐκ τοῦ προόντος ἐστίν, [ἢ] ἐκ τοῦ αὐτογενοῦς, ἢ ἐκ τοῦ ἐκκεχυμένου χάους. Καὶ πρῶτον ἐπὶ

plurimis de quibus singulis sermo multus est. Ut igitur subigatur penitus hic magnus homo supernus ex quo, ut aiunt, «omnis paternitas nominata «in terra et in cœlo» constituta est, data est ei anima quoque, ut per animam patiatur et castigetur in servitutem addicta «creatura hominis magni «et pulcherrimi et perfecti,» ita enim eum vocant. Quærunt igitur etiam qualis sit anima et unde et quali natura, ut, quum venerit in hominem et moverit eum, in servitutem det et castiget creaturam perfecti hominis; inquirunt vero non a scripturis sed hoc etiam a mysticis. Difficillimum autem esse aiunt animam invenire et intelligere. Non enim semper manet in eadem figura et eadem specie, neque in uno affectu, ut quis possit eam vel signo exprimere vel essentia perspicere. Has autem varias mutationes habent in Evangelio secundum Ægyptios inscripto. Dubitant igitur sicut reliqui omnes ethnici utrum tandum e præexistente principio exstiterit, et an suo ge-

2-3. ὁ ἄνωθεν? Schneid. — 3. Conf. Ephes. III, 15. — 7. αὖ Schneid.; αὐτὸν cod. Mill. qui susp. αὐτοί. — 8. νικήσασα Rœp.; sed cf. supr. p. 143, l. 12, ἀκίνητον Schn. — 13. εἴπῃ... καταλήψεται] Hæc videntur corrupta. — 17. αὐτογενοῦς Buns. *Hipp. and his age*, 1854, t. I, p. 346. Cf. infra, c. II, § 2; αὐτοῦ γένους cod. Mill.

τὰς Ἀσσυρίων καταφεύγουσι τελετὰς τὴν τριχῆ διαίρεσιν τοῦ ἀνθρώπου κατανοοῦντες· πρῶτοι γὰρ Ἀσσύριοι τὴν ψυχὴν τριμερῆ νομίζουσιν εἶναι καὶ μίαν. Ψυχῆς γάρ, φασί, πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται· ἔστι γὰρ ψυχὴ πάντων τῶν γινομένων αἰτία· πάντα ὅσα τρέφεται, φησί, καὶ αὔξει, ψυχῆς δεῖται. Οὐδὲν γὰρ οὔτε τροφῆς, φησίν, οὔτε αὐξήσεως οἷόν τ' ἐστὶν ἐπιτυχεῖν ψυχῆς μὴ παρούσης. Καὶ γὰρ οἱ λίθοι, φησίν, εἰσὶν ἔμψυχοι· ἔχουσι γὰρ τὸ αὐξητικόν· αὔξησις δὲ οὐκ ἄν ποτε γένοιτο χωρὶς τροφῆς· κατὰ προσθήκην γὰρ αὔξει τὰ αὐξανόμενα· ἡ δὲ προσθήκη τροφὴ τοῦ τρεφομένου. Πᾶσα οὖν φύσις ἐπουρανίων, φησί, καὶ ἐπιγείων καὶ καταχθονίων ψυχῆς ὀρέγεται. Καλοῦσι δὲ Ἀσσύριοι τὸ τοιοῦτον Ἄδωνιν ἢ Ἐνδυμίωνα [ἢ Ἄττιν]· καὶ ὅταν μὲν Ἄδωνις καλῆται, Ἀφροδίτη, φησίν, ἐρᾷ καὶ ἐπιθυμεῖ τῆς ψυχῆς τοῦ τοιούτου ὀνόματος. Ἀφροδίτη δὲ ἡ γένεσις ἐστὶ κατ' αὐτούς. Ὅταν δὲ ἡ Περσεφόνη ἢ ἡ Κόρη [99] ἐρᾷ τοῦ Ἀδώνιδος, ἐνητή, φησί, τις τῆς Ἀφροδίτης

nere (αὐτογενοῦς) an ex effuso chao. Ac primum ad Assyriorum confugiunt mysteria triplicem divisionem hominis observantes. Primi enim Assyrii animam existimant tripartitam esse et unam. Omnis enim natura, aiunt, animam concupiscit, alia autem aliter. Nam omnium quæ fiunt anima causa est. Omnibus, quæcumque aluntur, inquit, et crescunt, anima opus est. Nihil enim neque ali, inquit, neque crescere potest, nisi adsit anima. Nam et lapides, inquit, animati sunt: habent enim vim crescendi, nec unquam crescere possent nisi alerentur; per accessionem enim crescunt quæ crescunt: accessio autem alimentum eorum quæ aluntur. Omnis igitur natura cœlestium, inquit, ac terrestrium et subterraneorum animam concupiscit. Illud appellant Assyrii Adonin aut Endymionem [aut Attin]; et sicubi Adonis appellatur, Venus, inquit, diligit et concupiscit animam tali nomine designatam. Venus autem generatio apud eos habetur. Sicubi autem Proserpina aut Core Adonin diligit, perituram ait esse quamdam animam

3. Ψυχὴ cod. Mill.; conf. infra, l. 10, 11, et § 9, hujus cap.: Οὗτος, φησίν, ἐστὶν ὁ πολυώνυμος μυριόμματος ἀκατάληπτος, οὗ πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται. — φασὶ Mill.; πᾶσι cod. — 6. οἷόν ἐστιν cod. corr. Mill. — 12. Ἐνδημίωνα cod. Post Ἐνδυμίωνα excidisse videtur ἢ Ἄττιν; cf. infr. p. 146, l. 4 sqq. Schn. — καλεῖται cod. — 12-13. Ἀφροδίτης cod. — 14-15. καὶ ἡ Κόρη cod. Mill.; ἢ? Schn.

κεχωρισμένη (τῶν γενέσεως) ἐστὶν ἡ ψυχή. Ἐὰν δὲ ἡ Σελήνη Ἐνδυμίωνος εἰς ἐπιθυμίαν ἔλθῃ καὶ ἔρωτα μορφῆς, ἡ τῶν ὑψηλοτέρων, φησί, φύσις προσδεῖται καὶ ψυχῆς. Ἐὰν δὲ, φησίν, ἡ μήτηρ τῶν θεῶν ἀποκόψῃ τὸν Ἄττιν καὶ αὐτὴ τοῦτον ἔχουσα ἐρώμενον, ἡ τῶν ὑπερκοσμίων, φησί, καὶ αἰωνίων ἄνω μακαρία φύσις τὴν ἀῤῥενικὴν δύναμιν τῆς ψυχῆς ἀνακαλεῖται πρὸς αὐτήν. Ἔστι γὰρ, φησίν, ἀρσενόθηλυς ὁ ἄνθρωπος. Κατὰ τοῦτον οὖν αὐτοῖς τὸν λόγον πάνυ πονηρὸν καὶ μεμολυσμένον κατὰ τὴν διδασκαλίαν ἡ γυναικὸς πρὸς ἄνδρα λελεγμένη καθέστηκεν ὁμιλία. Ἀπεκόπη γὰρ, φησίν, ὁ Ἄττις, τουτέστιν ἀπὸ τῶν χοϊκῶν τῆς κτίσεως κάτωθεν μερῶν, καὶ ἐπὶ τὴν αἰωνίαν ἄνω μετελήλυθεν οὐσίαν, ὅπου, φησίν, οὐκ ἔστιν οὔτε θῆλυ οὔτε ἄρσεν, ἀλλὰ καινὴ κτίσις, καινὸς ἄνθρωπος, ὃς ἐστὶν ἀρσενόθηλυς. Ποῦ δὲ ἄνω λέγουσι, κατὰ τὸν οἰκεῖον ἐλθὼν δείξω τόπον. Μαρτυρεῖν δέ φασιν αὐτῶν τῷ λόγῳ οὐχ ἁπλῶς μόνην τὴν Ῥέαν,

a Venere sejunctam [hoc est a generatione]. Sin autem Luna in cupidinem Endymionis venerit formamque amaverit, dicit vel sublimiorum naturæ opus esse etiam anima. Sin autem, inquit, mater deorum exsecuerit Attin, ipsa quoque hunc adamans, beata, inquit, supermundanorum æternorumque natura masculam virtutem animæ ad se vocat. Esse enim inquit hominem masculum et femineum. Ex hac ratione habent Naasseni valde fœdum et sordidum in doctrina mulieris dictam cum viro consuetudinem. Exsectus enim est, inquit, Attis, id est a terrenis creationis inferioribus partibus ad æternam et supernam transmigravit naturam, ubi, inquit, nec femineum aliquid nec masculum est, sed nova creatio, novus homo, qui est mas et femina. Ubi autem sit quod supernum vocant, loco suo ostendam. Testem autem aiunt ipsorum doctrinæ esse non modo unam Rheam,

1. Fort. leg. κεχωρισμένη [ἤγουν γενέσεως] ἐστὶν. Vocabula duo de glossa marginali videntur illata, ad vocem Ἀφροδίτης pertinentia. Mill. — 3. φύσις Schn.; κτίσις cod. Mill. – καὶ αὐτὴ ψυχῆς susp. Millerus; καὶ delendum, ut videtur. — 8. κεκωλυμένον cod.; μεμολυσμένον κακίᾳ διδασκαλίᾳ Miller.; μεμολυσμένον C. F. Hermannus. — 9. δεδειγμένη cod. Mill. Schneidew. — 10. καὶ ἐπὶ τὴν cod. Mill. Schn.; delevi καὶ. — 11-12. οὐδὲ... οὐδὲ cod. Mill.; οὔτε Schneid. — 12. ὅ cod. Mill.; ὃς Schneid. Conf. Gal. 3, 28; 6, 15. Mill. et Clem. Rom. *Ep.* II, 12: Ὅταν ἔσται τὰ δύο ἓν καὶ τὸ ἔξω ὡς τὸ ἔσω καὶ τὸ ἄρσεν μετὰ τῆς θηλείας, οὔτε ἄρσεν οὔτε θῆλυ. Bunsenius, l. l. — 14. δέ φησιν αὐτὸν cod. corr. Mill.

ἀλλὰ γὰρ ὡς ἔπος εἰπεῖν ὅλην τὴν κτίσιν· καὶ τοῦτο εἶναι τὸ λεγόμενον ὑπὸ τοῦ λόγου διασαφοῦσι· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ τῆς «κτίσεως [100] τοῦ κόσμου τοῖς ποιήμασιν αὐτοῦ νοούμενα καθορᾶ«ται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, πρὸς τὸ εἶναι αὐτοὺς «ἀναπολογήτους. Διότι γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ «ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκον«τες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρ«του Θεοῦ ἐν ὁμοιώμασιν εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν «καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς «εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυ«σικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν.» Τί δέ ἐστιν ἡ φυσικὴ κατ' αὐτοὺς χρῆσις, ὕστερον ἐροῦμεν. «Ὁμοίως δὲ καὶ οἱ ἄρρενες ἀφέντες «τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν «εἰς ἀλλήλους, ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμε«νοι» (ἀσχημοσύνη δέ ἐστιν ἡ πρώτη καὶ μακαρία κατ' αὐτοὺς ἀσχημάτιστος οὐσία, ἡ πάντων σχημάτων τοῖς σχηματιζομένοις αἰτία)

sed et pæne universam creationem : et id esse declarant quod a Verbo dictum est : «Invisibilia enim ipsius a creatura mundi, per ea quæ facta «sunt, intellecta conspiciuntur ; sempiterna quoque ejus virtus et divini«tas, ut sint inexcusabiles, quia quum cognovissent Deum non sicut Deum «glorificaverunt aut gratias egerunt, sed evanuit insipiens cor eorum. Di«centes enim se esse sapientes, stulti facti sunt et mutaverunt gloriam in«corruptibilis Dei in similitudines imaginis corruptibilis hominis et volucrum «et quadrupedum et serpentium. Propter quod etiam tradidit illos Deus in «passiones ignominiæ. Nam feminæ eorum immutaverunt naturalem usum in «eum usum qui est contra naturam.» Quid autem sit, secundum eos, naturalis usus, postea dicemus. «Similiter autem et masculi relicto naturali usu «feminæ exarserunt in desideriis suis in invicem masculi in masculos tur«pitudinem operantes» (turpitudo autem est secundum Naassenos prima et beata natura quæ informis est et quæ omnium formarum in eis quæ

2. Conf. B. Pauli *Epist. ad Rom.* I, 20-26. — 6. B. Pauli Epist. habet : *ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία.* — 8. B. Pauli Epist. habet : *ἐν ὁμοιώματι.* — 9. *διὸ.....* hic plura omissa ab auctore vel a librario. — 12 sqq. Conf. B. Pauli *Ad Rom.* I, 27 sqq.

« καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμ-
« βάνοντες. » Ἐν γὰρ τούτοις τοῖς λόγοις, οἷς εἴρηκεν ὁ Παῦλος, ὅλον
φασὶ συνέχεσθαι τὸ κρύφιον αὐτῶν καὶ ἄῤῥητον τῆς μακαρίας μυ-
στήριον ἡδονῆς. Ἡ γὰρ ἐπαγγελία τοῦ λουτροῦ οὐκ ἄλλη τίς ἐστι
κατ' αὐτούς, ἢ τὸ εἰσαγαγεῖν εἰς τὴν ἀμάραντον ἡδονὴν τὸν λουό-
μενον κατ' αὐτοὺς ζῶντι ὕδατι καὶ χριόμενον ἀλάλῳ χρίσματι. Οὐ
μόνον δ' αὐτῶν ἐπιμαρτυρεῖν φασὶ τῷ λόγῳ τὰ Ἀσσυρίων μυστήρια
ἀλλὰ καὶ Φρυγῶν περὶ τὴν τῶν γεγονότων καὶ γινομένων καὶ ἐσο-
μένων ἔτι μακαρίαν κρυβομένην ὁμοῦ καὶ φανερουμένην φύσιν, ἥν-
περ φησὶ [101] τὴν ἐντὸς ἀνθρώπου βασίλειαν οὐρανῶν ζητουμένην,
περὶ ἧς διαῤῥήδην ἐν τῷ κατὰ Θωμᾶν ἐπιγραφομένῳ εὐαγγελίῳ πα-
ραδιδόασι λέγοντες οὕτως· « Ἐμὲ ὁ ζητῶν εὑρήσει ἐν παιδίοις ἀπὸ
« ἐτῶν ἑπτά· ἐκεῖ γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ αἰῶνι κρυβόμενος

formantur causa est) « et mercedem quam oportuit erroris sui in semet-
« ipsis recipientes. » Nam in his verbis quæ dixit Paulus totum contineri
affirmant suum secretum arcanumque beatæ voluptatis mysterium. Quod
enim pollicetur iis qui lavantur non aliud est secundum eos quam intro-
ducere in perennem voluptatem hominem lautum, ut aiunt, viva aqua et
unctum ineffabili unguento. Addunt autem fidem suis dictis facere non solum
Assyriorum mysteria sed et quæ Phryges habent circa naturam eorum quæ
fuerunt, quæ sunt et quæ futura sunt; quam quidem felicem naturam ait
absconditam simul et apertam et esse intus in homine regnum cœlorum
quod quæsitum est et de quo evidenter in evangelio secundum Thomam
inscripto perhibent his verbis : « Qui me quærit inveniet me inter infan-
« tes a septem annis. Ibi enim quatuordecimo ævo absconditus me pate-

6. ἀλάλῳ Mill.; ἄλλῳ cod. vide infra, § 9; καὶ χριόμενοι ἐκεῖ ἀλάλῳ χρίσματι. — 7. δ' addidit Mill. — 8. ἀλλὰ om cod. Mill. rest. Schneid. — 10. φησὶν ἐντὸς cod. corr. Mill. Conf. Luc. XVII, 21 : Ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστίν. — 12-13, et l. 1, p. 149. Hæc desunt apud Fabricium et apud Thilonem. Inter commentitios libros quos sacros habebant Naasseni et unde dogmata depromebant sua præcipui erant: Evangelium Perfectionis; Evangel. Evæ; Mariæ majores interrogationes; Mariæ minores interrogationes; de Progenie Mariæ; Evangelium B. Philippi; Evangelium secundum Thomam; Evangelium secundum Ægyptios (conf. B. Epiphan. *Hæres.* cap. XXVI, §§ 2, 8, 12, 13; *Philosoph.* l. V, c. VII). Fragmentum quoddam gnostici Naassenorum libri servavit Origenes (contra Cels. lib. VI, cap. XXX); non indicavit autem unde id exscripserit.

« Φανεροῦμαι. » Τοῦτο δὲ οὐκ ἔστι Χριστοῦ, ἀλλὰ Ἱπποκράτους λέγοντος· « Ἑπτὰ ἐτῶν παῖς πατρὸς ἥμισυ· » ὅθεν οὗτοι τὴν ἀρχέγονον Φύσιν τῶν ὅλων ἐν ἀρχεγόνῳ τιθέμενοι σπέρματι, τὸ Ἱπποκράτειον ἀκηκοότες, ὅτι ἔστιν ἥμισυ πατρὸς παιδίον ἑπτὰ ἐτῶν, ἐν τοῖς τέσσαρσι [καὶ δέκα] Φασὶν ἔτεσι, κατὰ τὸν Θωμᾶν, εἶναι Φανερούμενον. Οὗτος ἐστὶν ὁ ἀπόῤῥητος αὐτοῖς λόγος καὶ μυστικός. Λέγουσιν οὖν, ὅτι Αἰγύπτιοι, πάντων ἀνθρώπων μετὰ τοὺς Φρύγας ἀρχαιότεροι καθεστῶτες καὶ πᾶσι τοῖς ἄλλοις ἀνθρώποις ὁμολογουμένως τελετὰς καὶ ὄργια θεῶν πάντων ὁμοῦ μεταδόντες πρῶτοι καὶ κατηγγελκότες ἰδέας καὶ ἐνεργείας, ἱερὰ καὶ σεβάσμια καὶ ἀνεξαγόρευτα τοῖς μὴ τετελεσμένοις τὰ Ἴσιδος ἔχουσι μυστήρια· τὰ δ' εἰσὶν οὐκ ἄλλο τι ἢ ἡρπασμένον καὶ ζητούμενον ὑπὸ τῆς ἑπταστόλου καὶ μελανείμονος αἰδοῖον Ὀσίριδος. Ὄσιριν δὲ λέγουσιν ὕδωρ. Ἡ δὲ

« faciam. » Quod verbum non est Christi sed Hippocratis dicentis : « Septem « annorum puer patris dimidium. » Unde primigenia natura universorum posita in primigenio semine et, auditis Hippocratis verbis, scilicet puerum a septem annis dimidium esse patris, dicunt in quatuordecim annis, secundum Thomam, eum manifestari. Hæc est eorum secreta et mystica disciplina. Dicunt igitur Ægyptios, quos omnium hominum post Phryges antiquissimos esse constat et cæteris mysteria et orgia deorum simul omnium tradidisse primos et revelasse species ac virtutes, sacra et veneranda et iis qui non sunt initiati infanda, arcana Isidis habere : quæ nihil aliud sunt quam rapta et quæsita pudenda Osiridis ab illa septies vestita nigroque induta habitu. Osirin autem dicunt esse aquam. Septies autem vestita na-

1. Conf. Littré, *Traduct. des Œuvres d'Hippocrate*, t. I, p. 396. Mill. — 5. [*καὶ δέκα*] om. cod. rest. Mill. – *εἶναι* Mill.; *εἰ μὲν* cod. — 7. *Λέγουσι γοῦν* cod. Mill.; *Λέγουσιν οὖν* Schneid. – *μετὰ τοὺς Φρύγας*], conf. Herodot. II, II. Schneid. — 7-11. Conf. Herodot. II, V; Pseudo-Lucian. *De dea Syr.* § 2. Schneid. — 8-9. *ὁμολογουμένων* cod. corr. Mill. — 9. *μεταδόντες πρῶτοι* Schneid.; *μετὰ τὸν πρῶτον* cod. Mill. — 9-10. *καὶ κατηγγελκότες* Schneid.; *κατηγγελκότες* cod. Millerus. — 10. *ἰδέας* cod.; *καὶ ἰδέας* Millerus. — 13. *μελανήμονος* cod. corr. Mill. – *αἰδοῖον* Schneid.; *αἰσχύνη* cod. Mill. quod casto librario debetur vocem obscenam vitanti, ut in cod. Thuaneo Martialis ejusmodi in locum vocabulorum substitui solet *monstrum*. Schneid. Eadem de Ægyptiis legimus apud Origenem (contra Cels. lib. V, c. XXXVIII) : Μεταλαμβάνουσι τὸν μὲν Ὄσιριν εἰς ὕδωρ, τὴν δὲ Ἶσιν εἰς γῆν.

φύσις ἑπτάστολος, περὶ αὐτὴν ἔχουσα καὶ ἐστολισμένη ἑπτὰ στολὰς αἰθερίους [102] (τοὺς πλανήτας γὰρ ἀστέρας οὕτω προσαγορεύουσιν ἀλληγοροῦντες καὶ αἰθερίους [στολὰς] καλοῦντες) καθὼς ἡ μεταβλητὴ γένεσις καὶ ὑπὸ τοῦ ἀῤῥήτου καὶ ἀνεξεικονίστου καὶ ἀνεννοήτου καὶ ἀμόρφου μεταμορφουμένη κτίσις ἀναδείκνυται· καὶ τοῦτο ἐστὶ τὸ εἰρημένον, φησίν, ἐν τῇ Γραφῇ· «Ἑπτάκις πεσεῖται ὁ δίκαιος «καὶ ἀναστήσεται.» Αὗται γὰρ αἱ πλώσεις, φησίν, αἱ τῶν ἄστρων μεταβολαὶ ὑπὸ τοῦ πάντα κινοῦντος κινούμεναι. Λέγουσιν οὖν περὶ τῆς τοῦ σπέρματος οὐσίας, ἥτις ἐστὶ πάντων τῶν γινομένων αἰτία, ὅτι τούτων ἐστὶν οὐδέν, γεννᾷ δὲ καὶ ποιεῖ πάντα τὰ γινόμενα, λέγοντες οὕτως· «Γίνομαι ὃ θέλω καὶ εἰμὶ ὃ εἰμί, διὰ τοῦτο φημὶ «ἀκίνητον εἶναι τὸ πάντα κινοῦν. Μένει γὰρ ὅ ἐστι ποιοῦν τὰ πάντα «καὶ οὐδὲν τῶν γινομένων γίνεται.» Τοῦτον εἶναι φησὶν ἀγαθὸν μόνον, καὶ περὶ τούτου λελέχθαι τὸ ὑπὸ τοῦ Σωτῆρος λεγόμενον· «Τί με λέγεις ἀγαθόν; εἷς ἐστὶν ἀγαθός, ὁ πατήρ μου ὁ ἐν τοῖς «οὐρανοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους

tura, quæ circa se habet et induta est septem stolas æthereas (erratica astra sic appellantur et per allegoriam æthereæ stolæ vocantur), est velut mutabilis generatio et ostenditur ut creatio transformata ab illo ineffabili quem nec depingere nec intelligere fas est et qui forma caret; et hoc est quod dictum esse aiunt in Scriptura : «Septies cadet justus et surget.» Hi enim casus, aiunt, astrorum sunt conversiones ab illo qui omnia movet motæ. Dicunt igitur de seminis essentia, quæ est causa omnium quæ fiunt, horum eam esse nihil, sed procreare et efficere omnia quæ fiunt, his verbis affati : «Fio quod volo et sum quod sum, quapropter dico immotum esse «quod omnia movet. Manet enim quod est, faciens omnia, neque ipsum «quidquam eorum fit quæ fiunt.» Hunc esse ait solum bonum, et de hoc dictum esse quod a Salvatore dicitur : «Quid me dicis bonum? Unus est bonus «pater meus qui in cœlis est, qui solem suum oriri facit super justos et in-

2. *αἰθερίους* Rœp.; *αἰθρίους* cod. Mill. — 3. *αἰθερίους* Rœp.; *αἰθρίους* cod. Mill. — [*στολὰς*] addidi, nam in *αἰθέριος* nihil est allegorici. — *καθὼς* cod. Mill.; *κατ' αὐτοὺς* Schn. quod hoc loco, id est post parenthesim, collocari non poterat. — 4. *καὶ ὑπὸ* Schn.; *ὑπὸ* cod. Mill. — 6-7. Cf. *Prov.* XXIV, 16. — 9. *σπέρματος*] *πνεύματος* cod. Mill. — 13 sqq. Cf. B. Epiph. *Hæres.* XXVI, § 8. — 16 et 1, p. 151. Legimus apud

«καὶ βρέχει ἐπὶ ὁσίους καὶ ἁμαρτωλούς.» Τίνες δέ εἰσιν οἱ ὅσιοι οἷς βρέχει καὶ οἱ ἁμαρτωλοὶ οἷς ὁ αὐτὸς βρέχει, καὶ τοῦτο μετὰ τῶν ἄλλων ὕστερον ἐροῦμεν. Καὶ τοῦτ' εἶναι τὸ μέγα καὶ κρύφιον τῶν ὅλων καὶ ἄγνωστον μυστήριον παρὰ τοῖς Αἰγυπτίοις κεκαλυμμένον καὶ ἀνακεκαλυμμένον. Ὅσιρις γάρ, φησίν, ἐστὶν ἐν ναοῖς πρὸ τῆς Ἴσιδος, οὗ ἕστηκε γυμνὸν τὸ κεκρυμμένον, κάτωθεν ἄνω βλέπον καὶ πάντας αὐτοῦ τοὺς καρποὺς τῶν γεννωμένων στεφανούμενον· ἑστάναι δὲ οὐ μόνον ἐν [103] τοῖς ἁγιωτάτοις, πρῶτον ἀγαλμάτων, ναοῖς λέγουσι τὸ τοιοῦτον, ἀλλὰ γὰρ καὶ εἰς τὴν ἁπάντων ἐπίγνωσιν, οἱονεὶ φῶς [οὐχ] ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν ἐπικείμενον, κήρυγμα κηρυσσόμενον ἐπὶ τῶν δωμάτων, ἐν πάσαις ὁδοῖς

«justos, et pluit super sanctos et peccatores.» Qui sint sancti super quos pluit, et qui sint peccatores super quos similiter pluit, posthac cum cæteris dicemus. Et hoc esse magnum et occultum universorum mysterium apud Ægyptios opertum atque apertum. Osiris enim, ait, est in templis ante Isidem et ejus pars pudenda stat nuda sursum spectans et suis omnibus fructibus generationis coronata. Dicunt hoc non solum in sanctissimis templis primum signorum stare, sed etiam omnibus esse valde conspicuum, sicuti lumen non sub modio positum sed super candelabrum, præconium prædicatum super tecta, in omnibus viis et plateis et juxta domos finem quemdam

B. Matth. v, 45, *ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.* — 2. Suspicor hæc et ea quæ sequuntur ex libris commentitiis, *Evangelio perfectionis* et *De progenie Mariæ*, deprompta fuisse : «In «his enim libris non puduit Naassenos, «ut testatur B. Epiphanius, de stupris «amatoriisque ac Venereis rebus disse«rere.» Addit etiam «horribilia quædam «ac detestanda illorum dicta in iisdem «operibus contineri.» Ex his excerpsisse noster auctor videtur; quum enim B. Epiphanius, qui eorum mentionem fecit, plura protulit non absimilia eorum quæ noster exposuit, hinc promptum est conjicere ambos scriptores ex iisdem fontibus hausisse. (Cf. B. Epiphan. *Hær.* xxvi; cod. apocryphum Novi Testamenti a J. Alb. Fabricio edit. 1, p. 2-5. — 4. *καὶ ἄγνωστον* Mill.; *ἄγνωστον* cod. — 5. *Ὅσιρις* Schneidew.; *Οὐδεὶς* cod. Mill.; *Οὐδὸς* R. Scottus; conf. Plutarch. *De Isid. et Osirid.* c. li, p. 371 F: *Παντα χοῦ δὲ καὶ ἀνθρωπόμορφον Ὁσίριδος ἄγαλμα δεικνύουσιν, ἐξορθιάζον τῷ αἰδοίῳ, διὰ τὸ γόνιμον καὶ τὸ τρόφιμον* Schn. — *ναῷ* cod. Mill. Schneid.; legendum est *ναοῖς*. Vide infra. — 6. *Ἴσιδος* Schneid.; *εἰσόδου* cod. Mill. — *οὗ* Mill.; *οὐχ* cod. — 7. *γινομένων* cod. Mill. Schneid. legendum est *γεννωμένων*. — 8. *πρῶτον* Schneid.; *πρὸ τῶν* cod. Mill. — 10-11. *οὐχ* om cod. Conf. Matth. v, 15, et x, 27.

καὶ πάσαις ἀγυιαῖς καὶ παρ' αὐταῖς ταῖς οἰκίαις ὅρον τινὰ καὶ τέρμα τῆς οἰκίας προτεταγμένον, καὶ τοῦτο εἶναι τὸ ἀγαθὸν ὑπὸ πάντων λεγόμενον· ἀγαθηφόρον γὰρ αὐτὸ καλοῦσιν, ὃ λέγουσιν οὐκ εἰδότες· καὶ τοῦτο Ἕλληνες μυστικὸν ἀπὸ Αἰγυπτίων παραλαβόντες φυλάσσουσι μέχρι σήμερον. Τοὺς γοῦν Ἑρμᾶς, φησί, παρ' αὐτοῖς τοιούτῳ τετιμημένους σχήματι θεωροῦμεν. Κυλλήνιον δὲ διαφερόντως τιμῶντες Λόγιον φασίν. Ὁ γὰρ Ἑρμῆς ἐστι Λόγος, ὃς ἑρμηνεὺς ὢν καὶ δημιουργὸς τῶν γεγονότων ὁμοῦ καὶ γινομένων καὶ ἐσομένων παρ' αὐτοῖς τιμώμενος ἕστηκε τοιούτῳ τινὶ κεχαρακτηρισμένος σχήματι, ὅπερ ἐστὶν αἰδοῖον ἀνθρώπου ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ὁρμὴν ἔχον. Καὶ ὅτι οὗτος, τουτέστιν ὁ τοιοῦτος Ἑρμῆς, ψυχαγωγός, φησίν, ἐστὶ καὶ ψυχοπομπὸς καὶ ψυχῶν αἴτιος, οὐδὲ τοὺς ποιητὰς τῶν ἐθνῶν λανθάνει λέγοντας οὕτως·

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων,

et terminum domui in interiori parte propositum, et hoc esse quod ab omnibus bonum dicitur. Boniferum enim id appellant, ignorantes quod dicunt. Et hoc mysticum ab Ægyptiis mutuati Græci usque adhuc servant. Videmus enim, ait, Hermas tali specie insignes apud eos esse. Cyllenium vero quem eximie colunt Logium (verbalem) vocant. Hermes enim Verbum (Λόγος) habetur; qui quum sit interpres et demiurgus omnium quæcumque fuerunt et fiunt et futura sunt apud eos stat tali cultus habitu, pudendas hominis partes habens ab inferioribus ad superiora erectas. Et esse hunc, ejusmodi Mercurium dico, animarum ducem et comitem et auctorem ne ethnicos quidem poetas latet his dictis effatos :

Mercurius autem animas Cyllenius evocabat
virorum procorum,

5. Ἑρμεῖς cod. Mill.; Ἑρμᾶς Schneid. – αὐτοὺς cod.; αὐτοῖς Mill. — 6. Κυλλήνιοι cod. Mill. corr. Schneid.; Ἑρμῆς... Κυλλήνιος. Conf. Pausan. VI, XXVI, 5; Lucian. *Jupit. trag.* c. XLII. — 7-8. Λόγον (φησὶ γὰρ· Ἑρμῆς ἐστι Λόγος ἑρμηνεὺς ...γινομένων καὶ ἐσομένων) cod. Mill. corr. Schneid. — 10. αἰδοῖον; Schneid. αἰσχύνη cod. — 11. ἔχων cod. — 14-15. Hom. *Od.* XXIV, 1.

οὐ τῶν Πηνελόπης, φησίν, ὦ κακοδαίμονες, μνηστήρων, ἀλλὰ τῶν ἐξυπνισμένων καὶ ἀνεμνησμένων,

ἐξ οἵης τιμῆς [τε] καὶ [ὅσσου] μήκεος ὄλβου [104],

τουτέστιν ἀπὸ τοῦ μακαρίου ἄνωθεν ἀνθρώπου ἢ ἀρχανθρώπου ἢ Ἀδάμαντος, ὡς ἐκείνοις δοκεῖ, κατηνέχθησαν ὧδε εἰς πλάσμα τὸ πήλινον, ἵνα δουλεύσωσι τῷ ταύτης τῆς κτίσεως δημιουργῷ Ἰαλδαβαώθ, θεῷ πυρίνῳ, ἀριθμὸν τετάρτῳ· οὕτως γὰρ τὸν δημιουργὸν καὶ πατέρα τοῦ εἰδικοῦ κόσμου καλοῦσιν·

ἔχε δὲ ῥάβδον μετὰ χερσὶ
καλήν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.

Οὗτος, φησίν, ἐστὶν ὁ τῆς ζωῆς καὶ τοῦ θανάτου μόνος ἔχων ἐξουσίαν. Περὶ τούτου, φησί, γέγραπται· «Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ «σιδηρᾷ.» Ὁ δὲ ποιητής, φησί, κοσμῆσαι βουλόμενος τὸ ἀπερι-

non Penelopæ procorum, ait, o miseri, sed excussorum somno et admonitorum,

ex quali laude et quam dulci beatitudine,

hoc est, a beato et superno homine, vel primo et principe homine vel Adamante, ut illis placet, delati sint huc in figmentum luteum, ut servi subjiciantur hujus creationis demiurgo Ialdabaoth, deo igneo, numero quarto; his enim nominibus demiurgum et patrem mundi istius specialis vocant:

habebat vero virgam in manibus
pulchram, auream, qua quidem hominum oculos mulcet
quorum vult, rursus vero et dormientes suscitat.

Hic, ait, unus habet vitæ et mortis potestatem. De hoc addit scriptum esse: «Reges eos in virga ferrea.» Sed poeta, quum vellet exornare incomprehen-

1. *φησίν*, ὦ Schneid.; *φησὶν οἱ* cod.; *φασὶν οἱ* Mill. — 3. *ἐξ οἵης τιμῆς καὶ μὴ καὶ ὡς ὄλβου* cod. Conf. Empedocl. v. 355 Sturz. — 5. *κατηνέχθησαν* Rœper.; *κατενεχθεισῶν* cod. Millerus. — 6-7. *Ἰαλδαβαώθ*] *ἠσαλδαίῳ* cod. Mill. — 7. *ἀριθμῷ* codex. Apud Origenem (contra Cels. V, LXXVI) legimus Ἰαλδαβαώθ vocatum esse a Naassenis Primum et Septimum. — 8. *ἰδικοῦ* cod. Mill. Schneid.; lego *εἰδικοῦ*, id est «formam habentis.» — 9. *ἔχει* cod. Conf. Hom. *Od.* XXIV, 2. — 11. *οὕς* cod. — 13. Psalm. II, 9. — 14. *φησὶ* Mill.; *ὡς φησι* cod.

νόητον τῆς μακαρίας Φύσεως τοῦ Λόγου, οὐ σιδηρᾶν, ἀλλὰ χρυσῆν παρέθηκε τὴν ῥάβδον αὐτῷ. Θέλγει δὲ τὰ ὄμματα τῶν νεκρῶν, φησί, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει, τοὺς ἐξυπνισμένους καὶ γεγονότας μνησιλήρας. Περὶ τούτων, φησίν, ἡ Γραφὴ λέγει· « Ἔγει-
5 « ραι ὁ καθεύδων καὶ ἐξεγέρθητι, καὶ ἐπιφαύσει σοι ὁ Χρισιός. » Οὗτός ἐσιιν ὁ Χρισιός, ὁ ἐν πᾶσι, φησί, τοῖς γενητοῖς υἱὸς ἀνθρώπου κεχαρακτηρισμένος ἀπὸ τοῦ ἀχαρακτηρίσιου Λόγου. Τοῦτο, φησίν, ἐσιὶ τὸ μέγα καὶ ἄῤῥητον Ἐλευσινίων μυσιήριον « Ὗε, Κύε· » καὶ ὅτι, φησίν, αὐτῷ πάντα ὑποτέτακται, καὶ τοῦτ' ἐσιὶ τὸ εἰρη-
10 μένον· « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· » ὡς τὸ τὴν « ῥάβδον ἄγει κινήσας ὁ Ἑρμῆς, αἱ δὲ τρίζουσαι ἕπονται » αἱ ψυχαὶ συνεχῶς οὕτως ὡς διὰ τῆς εἰκόνος ὁ ποιητὴς ἐπιδέδειχε λέγων [105].

> Ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου Θεσπεσίοιο
> τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
15 ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται.....

sibilem virtutem beatæ naturæ Verbi, illud non ferrea sed aurea virga donavit. Mulcet vero oculos mortuorum, ait, et rursus eos qui dormiunt a somno excussos et memores effectos. De his addit dici in Scriptura : « Surge « qui dormis et exsurge, et illuminabit te Christus. » Ille est Christus quem filium hominis dicit in omnibus generatis effingi a Verbo quod ipsum effingi non potest. Et hoc est, ait, magnum et ineffabile mysterium Eleusiniorum : « Hye, Cye. » Et illi inquit universa subordinata esse, ut dictum est his verbis, « In omnem terram exivit sonus eorum ; » et illud, « Virgam movens « agit Mercurius animas; illæ autem stridentes continuo sequuntur, » ut per figuram poeta demonstravit his verbis :

> Sicut autem quando vespertiliones in secessu antri divini
> stridentes volant, postquam exciderit aliquis
> de serie ex petra, ac sibi invicem adhærescunt.....

2. περιέθηκε cod. Mill. Schneid.; legendum est παρέθηκε. — 3. Post ἐγείρει nonnulla puto excidisse. — 4-5. Ephes. v, 14 : Ἔγειρε (Ἔγειραι ς) ὁ καθεύδων καὶ ἀνάσια ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χρισιός. — 7. Λόγου Mill.; Λόγος cod. — 8. ὗε κύε. Cf. Plut. *De Isid. et Os.* c. xxxiv, p. 364; *Comment. de Mysteriis Cereris et Proserpinæ et de cæteris myst. Græciæ*, a v. d. Guigniaut, p. 67; et Lobeckii *Aglaoph.* p. 782. — 10-11. Rom. 10, 18. — 11. ἄγει restit. Schneid. Conf. Hom. *Od.* xxiv, 5 : τῇ ῥ' ἄγε κινήσας, ταὶ δὲ τρίζουσαι ἕποντο. — 13. Hom. *Od.* xxiv, 6 sqq. — 14. τρίζουσι cod. — ἐπεὶ καί τις cod. — 15. ἀλλήλοισιν cod.

«Πέτρης,» φησί, τοῦ Ἀδάμαντος λέγει. Οὗτος, φησίν, ἐστὶν ὁ Ἀδάμας «ὁ λίθος ὁ ἀκρογωνιαῖος εἰς κεφαλὴν γεγενημένος γωνίας,» (ἐν κεφαλῇ γὰρ εἶναι τὸν χαρακτηριστικὸν ἐγκέφαλον τῆς οὐσίας, ἐξ οὗ πᾶσα πατριὰ χαρακτηρίζεται,) «ὃν,» φησίν, «ἐντάσσω Ἀδά-«μαντα εἰς τὰ Θεμέλια Σιών·» ἀλληγορῶν, φησί, τὸ πλάσμα τοῦ ἀνθρώπου λέγει. Ὁ δὲ ἐντασσόμενος Ἀδάμας ἐστὶν ὀδόντες, ὡς Ὅμηρος λέγει, «ἕρκος ὀδόντων,» τουτέστι τεῖχος καὶ χαράκωμα, ἐν ᾧ ἐστὶν ὁ ἔσω ἄνθρωπος, ἐκεῖσε ἀποπεπλωκὼς ἀπὸ τοῦ ἀρχανθρώπου ἄνωθεν Ἀδάμαντος, «ὁ τμηθεὶς ἄνευ χειρῶν τεμνουσῶν» καὶ κατενηνεγμένος εἰς τὸ πλάσμα τῆς λήθης, τὸ χοϊκόν, τὸ ὀστράκινον· καὶ φησὶν ὅτι τετριγυῖαι αὐτῷ ἠκολούθουν αἱ ψυχαί, τῷ Λόγῳ,

ὡς αὗται τετριγυῖαι ἅμ' ἦσαν, ἦρχε δ' ἄρα σφιν

(τουτέστιν ἡγεῖτο)

Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα,

Per petram, ait, Adamantem dici. Hic Adamas, inquit, est «lapis summus «angularis factus in caput anguli;» (nam in capite esse cerebrum cui essentiæ effingendæ virtus inest et ex quo omnis paternitas efformatur;) «quem «insero, dicit, Adamantem in fundamenta Sion.» Sic per allegoriam, ait, de figmento hominis locutum esse. Insertus autem Adamas est intra dentes, ut Homerus dicit, «munimentum dentium,» hoc est murus et vallum intra quæ est interior homo qui illuc desuper lapsus est a primo homine Adamante, «sectus sine manibus secantibus» et delatus in creaturam oblivionis terrenam et argillaceam. Et addit stridentes animas comitari ipsum, id est Verbum :

sic illæ stridentes una ibant; præibat vero illis

(id est, ducebat)

Mercurius alienus a malo per obscuras vias.

1 sqq. Conf. Psalm. CXVIII, 22, et Is. XXVIII, 16. — 3. *τὴν οὐσίαν* cod. Mill. Schn. lego *χαρακτηριστικὸν τῆς οὐσίας*, «essentiæ fingendæ capax.» — 4. Cf. B. Paul. ad Ephes. III, 15. — 6. Inter *ἐστὶν* et *ὀδόντες* quædam excidisse videntur. Schn. — 7. Conf. Hom. *Il.* IV, 350, etc. — 8. *ἐκεῖθεν* cod. Mill.; *ἐκεῖσε* Schneid. — 9. Conf. Daniel. II, 45. — 12. *ὡς αἱ* et *ἦσαν*, Homer. *Od.* XXIV, 9. sqq.

τουτέστι, φησίν, εἰς τὰ ϖάσης κακίας ἀπηλλαγμένα αἰώνια χωρία. Ποῦ γὰρ, φησίν, ἦλθον;

Ἠὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα ϖέτρην,
ἠδὲ ϖαρ' Ἠελίοιο ϖύλας καὶ δῆμον ὀνείρων.

Οὗτος, φησίν, ἐστὶν Ὠκεανὸς «γενέσίς τε θεῶν, γένεσίς τ'[106] ἀν-«θρώπων,» ἐκ ϖαλιῤῥοίας στρεφόμενος αἰεί, ϖοτὲ ἄνω ϖοτὲ κάτω. Ἀλλ' ὅταν, φησί, κάτω ῥέῃ ὁ Ὠκεανός, γένεσις ἐστὶν ἀνθρώπων, ὅταν δὲ ἄνω ἐπὶ τὸ τεῖχος καὶ τὸ χαράκωμα καὶ τὴν Λευκάδα ϖέτρην, γένεσίς ἐστι θεῶν. Τοῦτό ἐστι, φησί, τὸ γεγραμμένον· «Ἐγὼ «εἶϖα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου ϖάντες, ἐὰν ἀϖὸ τῆς Αἰγύϖτου «φυγεῖν σπεύδητε καὶ γένησθε ϖέραν τῆς Ἐρυθρᾶς θαλάσσης εἰς «τὴν ἔρημον,» τουτέστιν ἀϖὸ τῆς κάτω μίξεως ἐπὶ τὴν ἄνω Ἱερουσαλήμ, ἥτις ἐστὶ μήτηρ ζώντων· «ἐὰν δὲ ϖάλιν ἐπιστραφῆτε ἐπὶ «τὴν Αἴγυϖτον,» τουτέστιν ἐπὶ τὴν κάτω μῖξιν, «ὡς ἄνθρωϖοι

Id est, ait, in loca æterna ab omni malo aliena. Quo enim, ait, venerunt?

Præteribant autem Oceani fluctus et Leucada petram,
et præter Solis portas et populum somniorum.

Hic, ait, est Oceanus «generatioque deorum generatioque hominum,» reciproco fluctuantium aquarum impulsu qui volvitur semper, nunc sursum nunc deorsum. Sed quando, ait, deorsum fluit Oceanus, generatio est hominum, quando autem sursum ad munimentum et vallum et Leucadem petram, generatio est deorum. Hoc est, ait, quod scriptum est his verbis. «Ego dixi: Dii estis et filii altissimi omnes, si ex Ægypto fugere properabitis «et veneritis trans Rubrum mare in desertum,» id est ab inferiore mixtione in superiorem Jerusalem, quæ est mater viventium; «Sin autem reverteritis «in Ægyptum,» id est in inferiorem mixtionem, «sicut homines moriemini:»

3. ϖαρὰ δ' ἔσαν cod. — 4. ἠ ϖαρ' cod. — 5. *γένεσίς τε* Schneid.; *γένεσις* cod. Mill. Versus videtur conflatus esse ex Hom. *Il.* XXIV, 201, Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν, et v. 246, Ὠκεανοῦ, ὅσπερ γένεσις ϖάντεσσι τέτυκται. Schn. — 9. ἐστί τε cod. Mill. — 10 sqq. Conf. Psalm. LXXXII, 6. — 12-13. Cf. Galat. IV, 26: ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις μήτηρ [ϖάντων] ἡμῶν. — 14 sqq. Horum similia legimus apud Philonem (lib. I, *De agricult.*) qui corpus Ægyptum vocat et animam in corpore captivam esse ait, ut Hebræi fuerunt in Ægypto.

« ἀποθνήσκετε · » Ψυητὴ γάρ, φησί, πᾶσα ἡ κάτω γένεσις, ἀθάνατος δὲ ἡ ἄνω γεννωμένη · γεννᾶται γὰρ ἐξ ὕδατος μόνου καὶ πνεύματος, πνευματικός, οὐ σαρκικός · ὁ δὲ κάτω σαρκικός · τουτέστι, φησί, τὸ γεγραμμένον · « Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ « ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. » Αὕτη ἐστὶν ἡ κατ' αὐτοὺς πνευματικὴ γένεσις. Οὗτος, φησίν, ἐστὶν ὁ μέγας Ἰορδάνης, ὃν κάτω ῥέοντα καὶ κωλύοντα ἐξελθεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου (ἤγουν ἐκ τῆς κάτω μίξεως · Αἴγυπτος γάρ ἐστι τὸ σῶμα κατ' αὐτούς) ἀνέστειλεν Ἰησοῦς καὶ ἐποίησεν ἄνω ῥέειν.

8. Τούτοις καὶ τοῖς τοιούτοις ἑπόμενοι οἱ θαυμασιώτατοι γνωστικοί, ἐφευρεταὶ καινῆς τέχνης γραμματικῆς, τὸν ἑαυτῶν προφήτην Ὅμηρον ταῦτα προφαίνοντα ἀῤῥήτως δοξάζουσι καὶ τοὺς ἀμυήτους τὰς ἁγίας γραφὰς εἰς τοιαύτας ἐννοίας συνάγοντες ἐνυβρίζουσι. Λέγουσι δέ · ὁ λέγων τὰ πάντα ἐξ ἑνὸς συνεστάναι, πλανᾶται · ὁ (107) λέγων ἐκ τριῶν, ἀληθεύει καὶ περὶ τῶν ὅλων τὴν ἀπόδειξιν δώσει. Μία γάρ ἐστι, φησίν, ἡ μακαρία Φύσις τοῦ μακαρίου ἀνθρώπου τοῦ ἄνω, τοῦ Ἀδάμαντος · μία δὲ ἡ Ψυητὴ κάτω · μία δὲ ἡ ἀβασίλευτος

mortalis enim, ait, universa inferior generatio, immortalis autem quæ supra procreatur : nam ex aqua sola et spiritu nascitur spiritualis, non carnalis, inferior autem carnalis; hoc est, ait, quod sic scriptum est : « Quod natum « est ex carne caro est, et quod natum est ex spiritu spiritus est. » Hæc est igitur secundum eos spiritualis generatio. Hic, ait, est magnus Jordanes, quem deorsum fluentem et prohibentem quominus exirent filii Israel ex terra Ægypto (videlicet ex inferiore mixtione, nam Ægyptus corpus est secundum eos) convertit Jesus et sursum fluere fecit.

8. Hæc et talia sectati mirandi isti gnostici et novæ grammaticæ disciplinæ inventores declarant prophetam suum Homerum hæc secreto revelare eosque qui sacris scripturis non sunt initiati in tales opiniones abductos irrident. Dicunt autem : Qui affirmat universa ex uno constare errat, qui affirmat ex tribus vere dicit et rationem omnium rerum exhibebit. Una enim est, ait, beata natura beati hominis superni, Adamantis; una autem mortalis et

4. Cf. Ev. B. Joan. III, 6. — 7. *κωλύοντας* cod.; *κωλύοντα* Millerus. — 11. *καινῆς* Schneid.; *κενῆς* cod. Mill.

γενεὰ ἡ ἄνω γενομένη, ὅπου, φησίν, ἐστὶ Μαριὰμ ἡ ζητουμένη, καὶ Ἰοθὼρ ὁ μέγας σοφὸς, καὶ Σεπφώρα ἡ βλέπουσα, καὶ Μωσῆς, οὗ γένεσις οὐκ ἔστιν ἐν Αἰγύπτῳ· γεγόνασι γὰρ αὐτῷ παῖδες ἐν Μαδιάμ· καὶ τοῦτο, φησίν, οὐδὲ τοὺς ποιητὰς λέληθε·

τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.

Δεῖ γὰρ, φησί, λαλεῖσθαι τὰ μεγέθη, λαλεῖσθαι δὲ οὕτως ὑπὸ πάντων πανταχῆ, «ἵνα ἀκούοντες μὴ ἀκούωσι καὶ βλέποντες μὴ βλέπωσιν.» Εἰ μὴ γὰρ ἐλαλεῖτο, φησί, τὰ μεγέθη, ὁ κόσμος συνεστάναι οὐκ ἠδύνατο. Οὗτοί εἰσιν οἱ τρεῖς ὑπέρογκοι λόγοι· «Καυλακαῦ, «Σαυλασαῦ, Ζεησάρ.» «Καυλακαῦ» τοῦ ἄνω, τοῦ Ἀδάμαντος,

inferior; una autem sine rege generatio quæ sursum sublata est, ubi, ait, Mariam est quæ conquiritur, et Jothor sapientia insignis, et Sepphora inspiciens, et Moses, cujus genus in Ægypto non est; nam liberi ei nati sunt in Madiam; et illud, inquit, non poetas latuit:

Trifariam omnia divisa sunt; unusquisque autem suum honorem sortitus est.

Necesse enim, ait, dicantur magnitudines, dicantur autem sic ab omnibus et ubique ut audientes non audiant et videntes non videant. Quod si enim, addit, magnitudines non dicerentur, mundus non posset constare: hæc sunt illa prægrandia tria verba: «Caulacau, Saulasau, Zeesar;» «Caulacau» hominis superioris, nempe Adamantis; «Saulasau» inferioris et mortalis;

1-4. Hæc, ni fallor, versibus Ezechielis alludunt; nam apud hunc poetam plura legimus de Mariam avuncula Moïsis, de Sephora, ejus uxore, et de Jothor, patre Sephoræ. Cf. *Ezechielis fragmenta* a Demetrio laudata, apud Euseb. *Præparat. Evang.* lib. IX, cap. XXXVIII, XXXIX. — 5. Hom. *Il.* XV, 189. — 7. Matth. XIII, 13: ὅτι βλέποντες οὐ βλέπουσιν καὶ ἀκούοντες οὐκ ἀκούουσιν οὐδὲ συνίουσιν. — 9-10. Καυλακαῦ, Σαυλασαῦ, Ζεησάρ. Is. XXVIII, 10. Hæc hebraica verba ita vertit noster auctor: *Caulacau* illius qui supra est Adamantis, *Saulasau* ejus qui infra est mortalis, *Zeesar* Jordanis qui sursum fluxit. B. Epiphanius eadem verba, ut Ophianorum sacra, affert, sed aliter interpretatur: vox illa *Caulacau*, ait, apud Isaiam scripta legitur in duodecima visione quum ita loquitur: «Tribulationem super tribulationem, spem super spem, paululum «adhuc exspecta.» Quare ipsamet hebraica verba, totidem ut illic leguntur descripta syllabis hoc loco subjiciam. Quippe *Saulasau Saulasau* tribulationem super tribulationem significat. *Caulacau Caulacau* spem super spem. *Zeesar Zeesar* adhuc paululum exspecta. (B. Epiphan. *Hæres.* XXV, § 4.) — 10. τοῦ ἄνω, τοῦ Schneid.; τοῦ ἀνωτάτω cod. Mill.

« Σαυλασαῦ » τοῦ κάτω Ζηνητοῦ, « Ζεησὰρ » τοῦ ἐπὶ τὰ ἄνω ῥεύσαντος Ἰορδάνου. Οὗτος ἐστί, φησίν, ὁ ἐν πᾶσιν ἀρσενόθηλυς ἄνθρωπος, ὃν οἱ ἀγνοοῦντες Γηρυόνην καλοῦσι τρισώματον, ὡς ἐκ γῆς ῥέοντα Γηρυόνην, κοινῇ δὲ Ἕλληνες « ἐπουράνιον Μηνὸς κέρας, » ὅτι καταμέμιχε καὶ κεκέρακε πάντα πᾶσι. « Πάντα γάρ, » φησί, « δι' « αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Ὃ δὲ γέγονεν ἐν « αὐτῷ ζωὴ ἐστιν. » Αὕτη, φησίν, ἐστὶν ἡ ζωὴ ἡ ἄῤῥητος γενεὰ τῶν τελείων ἀνθρώπων, ἣ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνώσθη. Τὸ δὲ « οὐδέν, » ὁ χωρὶς αὐτοῦ γέγονεν, ὁ κόσμος ἰδικός ἐστιν· γέγονεν γὰρ χωρὶς αὐτοῦ ὑπὸ τρίτου καὶ τετάρτου. Τοῦτο, φησίν, ἐστὶ τὸ ποτήριον « τὸ κόνδυ, ἐν ᾧ βασιλεὺς πίνων οἰωνίζεται. » [108] Τοῦτο, φησί, κεκρυμμένον εὑρέθη ἐν τοῖς καλοῖς τοῦ Βενιαμὶν σπέρμασι. Λέγουσι δὲ αὐτὸ καὶ Ἕλληνες, φησίν, οὕτως μαινομένῳ σλόματι·

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ·
μέθυσόν με καὶ κάρωσον.

« Zeesar » Jordanis sursum fluentis. Hunc esse dicit hominem masculum et femineum qui omnibus inest, quem ignari vocant tricorporem Geryonen veluti e tellure fluentem (Γηρυόνην), vulgo autem Græci « cœleste Menis « cornu, » quod permiscuerit et conflaverit omnia omnibus. « Omnia enim, » ait, « per ipsum facta sunt et sine ipso factum est nihil. Quod factum est in « ipso, vita est. » Hanc esse vitam dicit ineffabilem, generationem perfectorum hominum quam priores generationes non cognoverunt. Quod autem dictum est « nihil sine eo factum esse, » sic designatur mundus iste specialis. Exstitit enim sine eo a tertio et quarto. Illud est, ait, poculum « Condy in quo rex « bibens auguratur. » Hoc, ait, inventum est occultum in pulchris Benjamin seminibus. Addit eadem Græcos sic proferre furenti ore :

Fer aquam, fer vinum, o puer,
inebria me et somno sepeli.

3. Γηριόνην cod. corr. Mill. — 4. ἀπουράνιον cod. Mill. corr. Schneid.; cf. infra, c. IX. — 5. πανταπασι cod. — 5-7. Evang. Jo. 1, 3, 4 : Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ὃ γέγονεν, ἐν αὐτῷ ζωὴ ἐστιν. — 9. οὐδέν Schneid.; οὐδέν ἐστιν cod. Millerus. – ἰδικός ἐστιν Schneidew.; ἰδικός cod. Mill. – γέγονεν Schneid.; γέγονε, ἓν cod.; γέγονε μὲν Mill. — 12. Conf. Genes. c. XLIV, 2-5. — 14 sqq. Bergk rettulit inter Anacreontica, n° 63, p. 835. Cum v. 1 et 2 conf. Anacr. 50, 10 : βάλ' ὕδωρ, δὸς οἶνον, ὦ παῖ, || τὴν ψυχήν μου κάρωσον. Schneid.

Τὸ ϖοτήριον λέγει μου,
ϖοδαπόν με δεῖ γενέσθαι.

Τοῦτο, φησίν, ἤρκει μόνον νοηθὲν ἀνθρώποις τὸ τοῦ Ἀνακρέοντος ϖοτήριον ἀλάλως λαλοῦν μυσ|ήριον ἄῤῥητον. Ἄλαλον γάρ, φησί, τὸ Ἀνακρέοντος ϖοτήριον, ὅπερ αὐτῷ φησὶν Ἀνακρέων λαλεῖν ἀλάλῳ φθέγματι, ϖοδαπὸν αὐτὸν δεῖ γενέσθαι, τουτέσ|ι ϖνευματικόν, οὐ σαρκικόν, ἐὰν ἀκούσῃ τὸ κέκρυμμένον μυσ|ήριον ἐν σιωπῇ· καὶ τοῦτο ἐσ|ὶ τὸ ὕδωρ τὸ ἐν τοῖς καλοῖς ἐκείνοις γάμοις, ὃ σ|τρέψας ὁ Ἰησοῦς ἐποίησεν οἶνον. Αὕτη, φησίν, ἐσ|ὶν ἡ μεγάλη καὶ ἀληθινὴ ἀρχὴ τῶν σημείων, ἣν ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν βασιλείαν τῶν οὐρανῶν. Αὕτη, φησίν, ἐσ|ὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν κατακειμένη ὡς ϑησαυρός, ὡς ζύμη εἰς ἀλεύρου τρία σάτα κεκρυμμένη. Τουτέσ|ι, φησί, τὸ μέγα

Poculum meum dicit
cujatem me oporteat fieri.

Sufficiebat, inquit, hoc solum notum esse hominibus, Anacreontis poculum quod, non loquens, prodit tamen mysterium ineffabile. Mutum ait esse poculum Anacreontis quia Anacreon dicit poculum ad se loqui non loquendo et dicere cujatem oporteat eum fieri, id est spiritualem hominem, non vero carnalem, si audiverit in silentio occultum mysterium. Et hoc addit esse aquam in pulchris illis nuptiis quam Jesus convertit in vinum. Hoc est, ait, signorum magnum et verum initium quod Jesus effecit in Cana Galilææ et quo regnum cœlorum patefecit. Hoc est, dicit, regnum cœlorum in nobis, tanquam thesaurus, depositum, veluti fermentum in tribus farinæ satis occultum. Id esse etiam affirmat magnum et ineffabile mysterium Samo-

2. Post *τὸ ϖοτήριον λέγει μου* liquet versum unum deesse quem sic restituere forsan licet : *ἄλαλον λαλοῦν σιωπῇ* vel *ἀλάλῳ λαλοῦν σιωπῇ*. Noster enim ait Anacreontem dixisse *ἄλαλον* esse *ϖοτήριον* et idem *λαλοῦν ἀλάλως* vel *σιωπῇ* quod vocabulum in fine hujusce sententiæ legitur. Conf. etiam Anacr. XXVI, 25-26 : *τὸ δὲ ϖᾶν, ὁ κηρὸς αὐτὸς ‖ ἐχέτω λαλῶν σιωπῇ*. — 5. *Ἀνακρέοντος* Schneidew.; *Ἀνακρέοντος φησὶ* cod. Mill. — 6. *λαλεῖ* cod. Mill. corr. Schneid. — 8 sqq. Conf. Evang. B. Jo. II, 1-11. – *καλοῖς ἐκείνοις*] an *Καναινοῖς*? — 12-14. Conf. B. Luc. XVII, 21; B. Matth. XIII, 44; *ibid.* 33. — 14. *εἰς* Schneid.; *ὡς* cod. Mill.

καὶ ἄῤῥητον Σαμοθρᾴκων μυστήριον, ὃ μόνοις ἔξεστιν εἰδέναι τοῖς τελείοις, φησίν, ἡμῖν. Διαῤῥήδην γὰρ οἱ Σαμόθρᾳκες τὸν Ἀδὰμ ἐκεῖνον πᾶραδιδόασιν ἐν τοῖς μυστηρίοις τοῖς ἐπιτελουμένοις πᾶρ' αὐτοῖς ἀρχάνθρωπον. Ἔστηκε δὲ ἀγάλματα δύο ἐν τῷ Σαμοθρᾴκων ἀνακτόρῳ ἀνθρώπων γυμνῶν, ἄνω τεταμένας ἐχόντων τὰς χεῖρας ἀμφοτέρας [109] εἰς οὐρανὸν καὶ τὰς αἰσχύνας ἄνω ἐστραμμένας, καθάπερ ἐν Κυλλήνῃ τὸ τοῦ Ἑρμοῦ. Εἰκόνες δέ εἰσι τὰ πᾶροειρημένα ἀγάλματα τοῦ ἀρχανθρώπου καὶ τοῦ ἀναγεννωμένου πᾶνευματικοῦ, κατὰ πᾶνθ' ὁμοουσίου ἐκείνῳ τῷ ἀνθρώπῳ. Τοῦτο, φησίν, ἐστὶ τὸ εἰρημένον ὑπὸ τοῦ Σωτῆρος· «Ἐὰν μὴ πᾶίνητέ μου τὸ αἷμα καὶ φά- «γητέ μου τὴν σάρκα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν «οὐρανῶν· ἀλλὰ κἂν πᾶίητε, φησί, τὸ πᾶοτήριον ὃ ἐγὼ πᾶίνω, ὅπου «ἐγὼ ὑπάγω, ἐκεῖ ὑμεῖς εἰσελθεῖν οὐ δύνασθε.» Ἤδει γὰρ, φησίν, ἐξ ὁποίας φύσεως ἕκαστος τῶν μαθητῶν αὐτοῦ ἐστὶ καὶ ὅτι ἕκαστον αὐτῶν εἰς τὴν ἰδίαν φύσιν ἐλθεῖν ἀνάγκη. Ἀπὸ γὰρ τῶν δώδεκα, φησί, φυλῶν μαθητὰς ἐξελέξατο δώδεκα, καὶ δι' αὐτῶν ἐλάλησε πᾶσῃ

thracum quod solis nobis perfectis addit licitum esse cognoscere. Diserte enim narrant Samothraces in mysteriis apud se celebrari solitis Adamum hominem principem fuisse. Posita autem sunt in Samothracum templo duo simulacra hominum nudorum qui manus ad cœlum tendunt et pudenda habent erecta, sicuti in Cyllene monte fingitur signum Mercurii. Imagines sunt supradicta simulacra hominis principis et hominis renati spiritualis, in omnibus consubstantialis cum illo homine. Hoc esse ait quod a Salvatore dictum est his verbis : «Nisi biberitis meum sanguinem et manducaveri- «tis meam carnem non intrabitis in regnum, sed etiamsi biberitis, ait, «calicem quem ego bibo, quo ego vado, illuc vos intrare non potestis.» Sciebat enim, ait, qualem naturam haberet quisque discipulorum suorum, et necesse esse in propriam naturam quemque eorum venire. Nam ex duodecim tribubus, ait, elegit duodecim discipulos et per eos omni genti locu-

2. Ἀδὰμ, conf. Bergk in *Poetis lyricis*, p. 1041; v. d. Guigniaut, *Comment. de myster. Cerer. et Proserp.* p. 75; eumdem doctiss. virum, *Relig.* II, 1 et III, p. 293 sqq.; Alf. Maury doctas disquisitiones in ephemeridibus inscriptis : *Revue Archéologique*, an VIII et an IX. — 5. τεταμένας Mill.; τεμένας cod. — 10. Conf. B. Joan. VI, 53; B. Marc. X, 38. — 10-11. Φάγετε cod.

φυλῇ· διὰ τοῦτο, φησί, τὰ τῶν δώδεκα μαθητῶν κηρύγματα οὔτε πάντες ἀκηκόασιν οὔτε, ἐὰν ἀκούσωσι, παραδέξασθαι δύνανται. Ἔστι γὰρ αὐτοῖς παρὰ φύσιν τὰ μὴ κατὰ φύσιν.

Τοῦτον, φησί, Θρᾷκες οἱ περὶ τὸν Αἷμον οἰκοῦντες Κορύβαντα καλοῦσι, καὶ Θρᾳξὶν οἱ Φρύγες παραπλησίως, ὅτι ἀπὸ τῆς κορυφῆς ἄνωθεν καὶ ἀπὸ τοῦ ἀχαρακτηρίστου ἐγκεφάλου τὴν ἀρχὴν τῆς καταβάσεως λαμβάνων καὶ πάσας τὰς τῶν ὑποκειμένων διερχόμενος ἀρχὰς πῶς καὶ τίνα τρόπον κατέρχεται οὐ νοοῦμεν. Τοῦτ' ἐστί, φησί, τὸ εἰρημένον· « Φωνὴν μὲν αὐτοῦ ἠκούσαμεν, εἶδος δὲ αὐτοῦ οὐχ ἑω- « ράκαμεν. » Ἀποτεταγμένου γάρ, φησίν, αὐτοῦ καὶ κεχαρακτηρισμένου ἀκούεται φωνή, τὸ δὲ εἶδος τὸ κατελθὸν ἄνωθεν ἀπὸ τοῦ ἀχαρακτηρίστου ὁποῖον ἐστὶν οἶδεν οὐδείς. Ἔστι δὲ ἐν τῷ πλάσματι τῷ χοϊκῷ, γινώσκει δὲ αὐτὸ οὐδείς. Οὗτος, φησίν, ἐστὶν « ὁ τὸν κατα- « κλυσμὸν [110] οἰκιῶν θεὸς » κατὰ τὸ ψαλτήριον « καὶ φθεγγόμενος « [καὶ] κεκραγὼς ἀπὸ ὑδάτων πολλῶν. » Ὕδατα, φησίν, ἐστὶ πολλὰ ἡ πολυσχιδὴς τῶν θνητῶν γένεσις ἀνθρώπων, ἀφ' ἧς βοᾷ καὶ κέ-

tus est. Quamobrem addit verba duodecim apostolorum nec omnes audivisse nec, si audiverint, percipere posse. Quæ enim eis non sunt secundum naturam sunt contra naturam.

Hunc, ait, Corybantem vocant Thraces incolæ montis Hæmi unaque cum Thracibus Phryges, quoniam, dum a vertice superiori et a cerebro nulla imagine expresso delabi incipit itque per omnia rerum subjectarum principia, qua ratione et quo modo ita descendat non intelligimus. Hoc est, ait, dictum illud : « Vocem quidem ejus audivimus, vultum autem non « vidimus. » Nam secedentis et effigiati auditur vox, vultum autem, qualis sit qui ex alto descendit ab inefligiato, nemo novit. Hic est in figmento terreno, notus autem nemini. Esse hunc ait deum illum « qui diluvium habitat, » ut scriptum est in Psalterio, et « qui loquitur et clamat ex aquis multis. » Multas aquas dicit multiplicem generationem mortalium hominum esse, ex

4. Hæc et seq. videntur paraphrasis esse hymni in Attidem qui infra legitur. — 9-10. Cf. Evang. B. Jo. v, 37 : Οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε. — 10. Ἀποτεταγμένου cod. Mill.; ἀποτεταμένου Schn. — 12. εἶδεν cod. Mill. Schn. lego οἶδεν. — 14. οἰκῶν cod.; cf. Psalm. xxviii, 10, ubi legimus : Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ. — 14-15. Conf. Psalm. xxviii, 3 : Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν, Κύριος ἐπὶ ὑδάτων πολλῶν.

κραγε πρὸς τὸν ἀχαρακτήριστον ἄνθρωπον, «Ῥῦσαι» λέγων «ἀπὸ «λεόντων τὴν μονογενῆ μου.» Πρὸς τοῦτον, φησίν, ἐστὶν εἰρημένον· «Παῖς μου εἶ σὺ Ἰσραήλ, μὴ φοβοῦ, ἐὰν διὰ ποταμῶν διέλθῃς, «οὐ μή σε συγκλύσωσιν· ἐὰν διὰ πυρὸς διέλθῃς, οὐ μή σε συγκαύ«σει.» Ποταμούς, φησί, λέγει τὴν ὑγρὰν τῆς γενέσεως οὐσίαν, πῦρ δὲ τὴν ἐπὶ τὴν γένεσιν ὁρμὴν καὶ ἐπιθυμίαν· «Σὺ ἐμὸς εἶ, μὴ φο«βοῦ.» Καὶ πάλιν, φησίν, «Εἰ ἐπιλήσεται μήτηρ τῶν τέκνων αὐτῆς «μὴ ἐλεῆσαι μηδὲ ἐπιδοῦναι μαστόν, κἀγὼ ἐπιλήσομαι ὑμῶν,» ὁ Ἀδάμας, φησί, λέγει πρὸς τοὺς ἰδίους ἀνθρώπους· «Ἀλλὰ εἰ καὶ «ἐπιλήσεται ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι ὑμῶν. Ἐπὶ τῶν «χειρῶν μου ἐζωγράφηκα ὑμᾶς.» Περὶ δὲ τῆς ἀνόδου αὐτοῦ, τουτέστι τῆς ἀναγεννήσεως, ἵνα γένηται πνευματικός, οὐ σαρκικός, λέγει, φησίν, ἡ Γραφή· «Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ «ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης,» τουτέστι, θαῦμα θαυμάτων. «Τίς γάρ,» φησίν, «ἐστὶν οὗτος ὁ βα-

qua ad hominem inefligiatum voce et clamore sic loquitur : «Unigenitam «meam defende a leonibus.» Huic autem vult dictum esse : «Filius meus «es tu. Israel. ne timeas; et si per fluctus ieris. fluctus non te corripient. et «si per ignem. non te comburet ignis.» Fluctus esse dicit humidam generationis vim. et ignem impetum illum quo vehementer ad generandum feruntur homines : «Meus es tu. ne timeas.» Et rursus. «Si oblita erit mater «natorum suorum. quin eorum misereatur detque mammam eis. et ego «obliviscar vestrum.» Adamas. ait. ad proprios homines loquitur : «Sed «etiamsi obliviscetur ea mulier. ego certe non obliviscar vestrum. In manu «mea descriptos teneo vos.» Quod autem ad ascensionem attinet. id est ad renovationem vitæ ejus. ut spiritualis e carnali fiat. sic dicere ait Scripturam. «Attollant portas qui vobis imperant; elevamini, portæ æternales. «et introibit rex gloriæ.» id est miraculum miraculorum. «Quis enim.»

1. Conf. Psalm. xxxiv, 17, et xxi, 21. 22. — 3 sqq. Conf. Is. xli, 8 : Σὺ δὲ Ἰσραὴλ παῖς μου. Is. xliii, 1, 2 : Μὴ φοβοῦ... Ἐμὸς εἶ σύ. Καὶ ἐὰν διαβαίνῃς διὰ ὑδάτος, μετὰ σοῦ εἰμί, καὶ ποταμοὶ οὐ συγκλύσουσίν σε· καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ καταφλεχθῇς. — 10. Is. xlix, 15 :... Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπεν Κύριος. Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη κ. τ. λ. — 13. Psalm. xxiii, 7. 9. — 15. Conf. Psalm. xxiii. 8. — 16. Psalm. xxi, 7.

«σιλεὺς τῆς δόξης; Σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπου «καὶ ἐξουθένημα λαοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ὁ ἐν πο-«λέμῳ δυνατός.» Πόλεμον δὲ λέγει τὸν ἐν σώματι, ὅτι ἐκ μαχί-μων στοιχείων πέπλασται τὸ πλάσμα, καθὼς γέγραπται, φησί, «Μνήσθητι πόλεμον τὸν γινόμενον ἐν σώματι.» Ταύτην, φησί, τὴν εἴσοδον καὶ ταύτην τὴν πύλην εἶδεν εἰς (111) Μεσοποταμίαν πορευόμενος ὁ Ἰακώβ, ὅπερ ἐστὶν ἀπὸ τοῦ παιδὸς ἔφηβος ἤδη γινό-μενος καὶ ἀνήρ, τουτέστιν ἐγνωρίσθη τῷ εἰς Μεσοποταμίαν πο-ρευομένῳ· (Μεσοποταμία δέ, φησίν, ἐστὶν ἡ τοῦ μεγάλου ὠκεανοῦ ῥοή, ἀπὸ τῶν μέσων ῥέουσα τοῦ τελείου ἀνθρώπου,) καὶ ἐθαύμασε τὴν οὐράνιον πύλην εἰπών· «Ὡς φοβερὸς ὁ τόπος οὗτος! Οὐκ ἔστι «τοῦτο ἀλλ' ἢ οἶκος θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.» Διὰ τοῦτο, φησί, λέγει ὁ Ἰησοῦς· «Ἐγώ εἰμι ἡ πύλη ἡ ἀληθινή.» Ἔστι δὲ ὁ ταῦτα λέγων ὁ ἀπὸ τοῦ ἀχαρακτηρίστου, φησίν, ἄνωθεν κεχα-

paternas transfert notas. Hic igitur et omnia simul paterna sunt ac nihil ultra. Nam si cui terrestrium horum intellectum fuerit sese paternam notam esse delatam desuper et incarnatam, quasi fit a virga per infetationem, evadet ille album aliquid, natura omnino Patri cœlesti par, et rursus ad cœlum ascendet; quod si contra hæc disciplina eum fugerit, nec generationis necessitatem agnoverit, tum, ut abortivus, nocte natus, nocte peribit. Ergo quum dicit Salvator, «Pater vester qui est in cœlis,» illum dicit a quo desumptas notas huc transtulit Filius; ubi autem dicit, «Vester pater ab initio «homicida est,» dominum et opificem dicit Materiæ, qui traditas a Filio notas mutuatus in terris generavit, ab initio homicida; nam ille opere suo perniciem et mortem operatur. Nemo igitur salvus fieri nec in cœlum ascendere sine Filio potest: filius autem est Serpens. Nam ut paternas desuper

2. Addidi *ἔτι* quod prorsus exciderat. – *τις* cod. Mill. Schn. Lego *τι* ob *λευκὸν* quod sequitur. – *κατανοηθῆναι* Schn.; *καὶ ἐννοηθῆναι* cod.; *ὡς ἐννοηθῆναι* susp. Mill. — 3. *ἐστὶ* Schn.; *ἔσται* cod. Mill. — 4. *ἐγκισσήματι τῷ* Schn.; *ἐν κίσσημα τὶ τὸ* cod.; *ἐγκίσσημά τι τὸ* Mill. — 5. *ὅλος* cod. Mill.; *ὅλως* Schneid. – *καὶ ἐκεῖ ἀνέρχεται* Schneid.; *κατοικεῖ ἀνέρχεται* cod.; *κατ' οἰκείαν ἔρχεται* Mill. — 8. *λέγῃ* Mill.; *λέγει* cod. — 8-9. Cf. Ev. B. Matth. VII, 11; V, 48, alibi. — 10-11. Conf. Evang. B. Jo. VIII, 44 : *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς.* — 12. *ὃς* Mill.; *ὡς* cod. — 13. *ὅς* Mill.; *ὅ* cod. — 15. *δίχα* Schneidew.; *διὰ* cod. Mill.

γὰρ κατήνεγκεν ἄνωθεν τοὺς πατρικοὺς χαρακτῆρας, οὕτως πάλιν ἐντεῦθεν ἀναφέρει τοὺς ἐξυπνισμένους καὶ γεγονότας πατρικοὺς χαρακτῆρας ὑποσλάτους ἐκ τοῦ ἀνυποσλάτου ἐντεῦθεν ἐκεῖ μεταφέρων. Τοῦτ' ἐσλί, φησί, τὸ εἰρημένον· « Ἐγω εἰμὶ ἡ Θύρα. » Μεταφέρει δέ, φησί, ... καμμύουσιν ὀφθαλμοῦ βλεφάρον, ὥσπερ ὁ ἀνάφθας τὸ πῦρ πανταχόθεν εἰς ἑαυτὸν ἐπισπώμενος, μᾶλλον δὲ ὥσπερ ἡ ἡρακλεία λίθος τὸν σίδηρον, ἄλλο [δὲ] οὐδέν, ἢ ὥσπερ ἡ τοῦ Θαλασσίου ἱέρακος κερκὶς τὸ χρυσίον, ἕτερον δὲ οὐδὲν· ἢ ὥσπερ ἄγεται ὑπὸ τοῦ ἠλέκτρου τὸ ἄχυρον, οὕτω, φησίν, ὑπὸ τοῦ Ὄφεως ἄγεται πάλιν ἀπὸ τοῦ κόσμου τὸ ἐξεικονισμένον τέλειον γένος ὁμοούσιον, ἄλλο δὲ οὐδέν, καθὼς ὑπ' αὐτοῦ κατεπέμφθη. Πρὸς ταύτην τὴν ἀπόδειξιν φέρουσι τὴν τοῦ ἐγκεφάλου ἀνατομήν, αὐτὸν μὲν τὸν ἐγκέφαλον ἀπεικονίζοντες τῷ Πατρὶ διὰ τὸ ἀκίνητον, τὴν δὲ παρεγκεφαλίδα τῷ Υἱῷ διά τε τὸ κινεῖσθαι καὶ δρακοντοειδῆ ὑπάρχειν, ἣν ἀῤῥήτως καὶ ἀσημάντως ἐπισπᾶσθαι διὰ τοῦ κωναρίου

detulit notas, ita hinc rursus excitatas paternasque factas notas, et ex non substantiali effectas substantiales, hinc refert illuc, secundum quod dictum est : « Ego sum porta. » Transfert autem, ait..... ut ignem undique ad sese attrahit naphtha; sive potius ut magneticus lapis, exclusis cæteris, ferrum trahit; ut aurum, accipitris marini spina nec quidquam aliud; ut paleam electrum, sic Serpens trahit ex mundo effigiatum perfectumque et consubstantiale genus, neque aliud quidquam trahit quippe quod ab eo demissum est. Cui rei demonstrandæ cerebrum resectum adhibent, cerebrum ipsum dicentes, ut pote immotum, Patrem esse, Filiumque cerebellum, propterea quod et moveatur et Serpenti sit simile; quod etiam, ineffabili quodam et

2. ἐξυπνισμοὺς cod. — 4. Conf. Evang. B. Jo. x, 7. — 5. Homœoteleuton verbi φησί causa fuisse videtur cur intermedia exciderent. Schneidew. Locum fere similem invenimus lib. VIII, § 10; ibi enim legimus : συσλείλας ἑαυτὸν ὡς φῶς ὄψεως ὑπὸ τοῖς βλεφάροις συνεσλαλμένον ἐξικνεῖται μέχρις οὐρανοῦ. Inde conjicio totam sententiam sic restitui posse : μεταφέρει δέ, φησίν, [ὡς φῶς ὄψεως τοῖς] καμμύουσιν ὀφθαλμοῦ βλέφαρον [ἐξικνεῖται μέχρις οὐρανοῦ]. — 6. ἀνάφθας cod. Millerus qui addit in notis : Non mutavi in νάφθας. Nam notissimum omnibus studium Græcorum peregrina vocabula ad domestica etyma (ἀνάπλω) reducendi. — 9. ὑπὸ Schneidew.; ἀπὸ cod. Mill. — 11. ἄλλο Mill.; ἄλλοι cod. — 12-15 et p. 208, l. 1, conf. supra, p. 135.

φάσκουσι τὴν ἐκ καμαρίου ἀπορρέουσαν πνευματικὴν καὶ ζωογόνον οὐσίαν [138], ἣν ὑποδεξαμένη ἡ παρεγκεφαλίς, ὥσπερ ὁ Υἱός, ἀλάλως μεταδίδωσι τῇ Ὕλῃ τὰς ἰδέας, τουτέστιν ἐπὶ τὸν νωτιαῖον μυελὸν διαῤῥέει τὰ σπέρματα καὶ τὰ γένη τῶν γεννωμένων κατὰ σάρκα. Τούτῳ τῷ παραδείγματι χρώμενοι εὐφυῶς δοκοῦσι παρεισάγειν τὰ ἄῤῥητα αὐτῶν ἀλάλως παραδιδόμενα μυστήρια, ἃ ἐξειπεῖν ἡμῖν οὐ θέμις, ὅμως δὲ νοῆσαι διὰ τῶν εἰρημένων εὔκολον.

18. Ἀλλ' ἐπεὶ καὶ τὴν Περατικὴν αἵρεσιν νομίζω φανερῶς ἐκτεθεῖσθαι καὶ διὰ πολλῶν ἔκδηλον πεποιηκέναι διαλαθοῦσαν καὶ πάντα πᾶσι συντιθεμένην, ἀποκρύπτουσά τε τὸν ἴδιον ἰόν, δοκεῖ μηδὲν περαιτέρω τούτων κατηγορεῖν, ἱκανῶν ὄντων πρὸς κατηγορίαν αὐτῶν τῶν ὑπ' αὐτῶν δογματιζομένων.

arcano modo, per glandulam attrahere ad se defluentem e camario spiritualem vitalemque vim dictitant; qua accepta cerebellum ineffabiliter, sicut Filius, notas Materiæ tradit, id est ad medullam dorsalem semina et genera eorum quæ secundum carnem generantur transfluunt. Hoc adhibito exemplo credunt perite subintroducere ineffabilia mysteria sua, per silentium tradita, quæ expromere quidem nefas nobis; ex iis tamen quæ diximus ea intelligere jam facile sit.

18. Sed quoniam Peraticam quoque hæresim aperte exposuisse mihi videor et multis verbis fecisse conspicuam quæ vulgo latebat, et quæ miscuerat omnia omnibus et venenum ipsa suum abscondiderat, nunc in animo est ponere refutationi finem, nam satis per doctrinas suas ipsi refutantur.

1. καμαρίου Schneid.; μακαρίου cod. Conf. supra, p. 135, 4. — 4. γεννωμένων Schneidew.; γενομένων cod. Mill. — 7. ὅμως Schneidew. — 9. πολλῶν cod.; πολλοῖς susp. Mill. – διαλαθοῦσαν Schn.; ἀεὶ λαθοῦσαν cod.; ἕως ἄρτι λαθοῦσαν susp. Mill. — 10. πάντα πᾶσι Schneid.; παντάπασι cod. Mill.; forsan πᾶσιν ἐπιτιθεμένην, omnibus insidiantem. De Sethianis vide B. Iren. contra *Hæreses*, l. I, c. XXX; Tert. *Præscript.* c. XLVII; Theod. *Hæret. fabul.* l. I, c. XIV; ejusdem quæst. XLVII in Genesim; B. Epiphanii *Advers. Hæres.* c. XXVIII, XXXVII et XXXIX; B. Augustini *De Hæret.* c. XIX; Flavii Josephi *Antiq. Judaic.* lib. I, c. II; Nicet. *Thesauri* IV, cap. XII; Georg. Syncell. p. 10 e Parva Genesi; Michael Glyc. *Annalium* p. 121; ad *Chronicon* Alex. animadvers. Matthæi Baderi, p. 18; Suidas *in Seth; Auctor oper. imperf. in Matth. Hom.* 2; *Excerpta chronol.* Jo. Malalæ *præmissa*, p. 4. *De Astronomia* Setho tradita ab Angelo, quod spurium opus in Bibliotheca Vindobonensi exstabat, confer Lambecium, l. VII, p. 261.

γ'. Οἱ Σηθιανοί.

19. Ἴδωμεν οὖν τί λέγουσιν οἱ Σηθιανοί. Τούτοις δοκεῖ τῶν ὅλων εἶναι τρεῖς ἀρχὰς περιωρισμένας, ἑκάστην δὲ τῶν ἀρχῶν ἀπείρους ἔχειν δυνάμεις. Δυνάμεις δ' αὐτῶν λεγόντων λογιζέσθω ὁ ἀκούων τοῦτο αὐτοὺς λέγειν· πᾶν ὅ τι νοήσει ἐπινοεῖς ἢ καὶ παραλείπεις μὴ νοηθέν, τοῦτο ἑκάστη τῶν ἀρχῶν πέφυκε γενέσθαι, ὡς ἐν ἀνθρωπίνῃ ψυχῇ πᾶσα ἡτισοῦν διδασκομένη τέχνη· οἱονεί, φησί, γενήσεται τοῦτο τὸ παιδίον αὐλητής, ἐγχρονίσαν αὐλητῇ, ἢ γεωμέτρης γέωμετρῃ, γραμματικῷ γραμματικός, τέκτων τέκτονι, καὶ ταῖς ἄλλαις ἁπάσαις τέχναις ἐγγὺς γινομένῳ ὁμοίως συμβήσεται. Αἱ δὲ τῶν ἀρχῶν, φησίν, οὐσίαι φῶς καὶ σκότος· τούτων δέ ἐστιν ἐν μέσῳ πνεῦμα ἀκέραιον· τὸ δὲ πνεῦμα τὸ [139] τεταγμένον ἐν μέσῳ τοῦ σκότους, ὅπερ ἐστὶ κάτω, καὶ τοῦ φωτός, ὅπερ ἐστὶν ἄνω, οὐκ ἔστι πνεῦμα, ὡς ἀνέμου ῥιπὴ ἢ λεπτή τις αὔρα νοηθῆναι δυναμένη, ἀλλ'

III. SETHIANI.

19. Videamus igitur quid dicant Sethiani. His placet tria definita principia rerum omnium esse, et inesse in unoquoque principiorum potestates infinitas. Quasnam autem potestates hi significent, considerare potest qui eos audit sic loquentes : quidquid aut cognitione noveris aut etiam prætermiseris ignoratione, hoc ipsum principiorum unumquodque natura fieri potest, sicut apud homines quæcumque ars docetur : ut, verbi gratia, puer iste fiet tibicen, tibicinis artem per tempus edoctus, aut geometra geometræ, aut grammaticus grammatici, aut faber fabri, et cæteras pariter artes, si illis admotus fuerit, arripiet. Principia autem natura sua ex luce ac tenebris constant : quorum in medio spiritus est non mixtus : qui, tenebras inferiores inter et superiorem lucem medius, non vere spiritus est ut venti flamen vel aura quædam levis quam sentire possis, sed ut unguenti quidam odor thurisve mixti,

Cap. III, l. 1-2. Conf. lib. X, § 11. Eadem leguntur. — 3. Δυνάμεις... λογιζέσθω; Δύναται δὲ αὐτῶν λεγόντων λογίζεσθαι Bernaysius in *Ep. crit. ad Bunsenium*, p. 318. — 5. ἑκάστην cod.; ἑκάστη Mill. Bernaysius. Conf. lib. X, § 11. — 7. γενήσεται Mill.; γένηται cod.; γένοιτο Bern. — 9. γινόμενον cod. Mill. Schneid. Lege γινομένῳ. — 13. ἀνέμου ῥιπὴ Schn.; ἄνεμος ἢ ῥιπὴ cod. Mill.

οἱονεὶ μύρου τις ὀσμὴ ἢ θυμιάματος ἐκ συνθέσεως κατεσκευασμένου λεπτή, διοδεύουσα δύναμις ἀνεπινοήτῳ τινὶ καὶ κρείττονι ἢ λόγῳ ἔσλιν ἐξειπεῖν φορᾷ εὐωδίας. Ἐπειδὴ δὲ ἄνω ἐσλὶ τὸ φῶς καὶ κάτω [τὸ] σκότος, καὶ τούτων, ὡς ἔφην, (τοιοῦτον τρόπον) μέσον τὸ πνεῦμα, τὸ δὲ φῶς πέφυκε καθάπερ ἀκτὶς ἡλίου ἄνωθεν ἐλλάμπειν εἰς τὸ ὑποκείμενον σκότος, ἀνάπαλιν δὲ ἡ τοῦ πνεύματος εὐωδία μέσην ἔχουσα τάξιν ἐκτείνεται καὶ φέρεται πανταχῆ, ὡς ἐπὶ τῶν ἐν πυρὶ θυμιαμάτων τὴν εὐωδίαν πανταχῆ φερομένην ἐπεγνώκαμεν· τοιαύτης δὲ οὔσης τῆς δυνάμεως τῶν διηρημένων τριχῶς, τοῦ πνεύματος καὶ τοῦ φωτὸς ὁμοῦ ἡ δύναμίς ἐσλιν ἐν τῷ σκότει τῷ κάτωθεν αὐτῶν τεταγμένῳ. Τὸ δὲ σκότος ὕδωρ ἐσλὶ φοβερόν, εἰς ὃ κατέσπασλαι καὶ μετενήνεκται εἰς τὴν τοιαύτην φύσιν μετὰ τοῦ πνεύματος τὸ φῶς. Τὸ δὲ σκότος ἀσύνετον οὐκ ἐσλίν, ἀλλὰ φρόνιμον πάντελῶς, καὶ οἶδεν ὅτι, ἂν ἀπαρθῇ τὸ φῶς ἀπὸ τοῦ σκότους, μένει τὸ σκότος ἔρημον, ἀφανές, ἀλαμπές, ἀδύναμον, ἄπρακτον, ἀσθενές.

tenuis, nescio qua sensus incomprehensibili virtute et superante verbum odoris vi sese insinuans. Quum autem superior sit lux et inferiores tenebræ jaceant, mediumque, ut dixi, teneat spiritus; quumque lux natura sua subjacentibus tenebris tanquam solaris radius illuceat, et spiritus medius odorem partes per omnes diffusum expandat, quemadmodum thuris ignibus impositi odor partes per omnes sese diffundit; quum, inquam, ea sit principiorum trium virtus, spiritus ac lucis virtus in subjacentibus tenebris ponitur. Tenebræ autem sunt aqua terribilis, in quam detrahitur et in eamdem naturam mutatur cum spiritu lux. Tenebræ autem mente non carent, sed sunt admodum intelligentes, neque ignotum est iis sese manere, ablata luce, desertas, sine lumine, sine splendore, sine virtute, impotentes, invalidas. Unde tota

3. *φορᾷ εὐωδίας* Schneidew. ex lib. X, § 11, restituit; *εὐωδίᾳ* cod. Mill. – *Ἐπειδὴ δὲ* Schneid.; *Ἐπειδὴ* cod.; *Ἐπεὶ δὴ* Mill. – *τὸ* restit. Mill. — 4. *τρόπον* Schn.; *τρόπον ὃν* cod.; *τρόπον ὃν* Mill. Vel *τοιουτότροπον ὃν* legendum, vel delenda hæc verba. Cf. lib. X, § 11, ubi deleta sunt. — 5. *τὸ δὲ φῶς* Schneid.; *τὸ φῶς* Mill. – *ἀκτὶς ἡλίου* Schneidew. correx. ex lib. X, § 11; *δή τις ἡλίου* cod.; *δή τις ἥλιος* Mill. – *ἐλλάμπειν* Schneidew.; *ἐλλάμπει* Mill. — 6-7. Infra (lib. X, § 11) legitur: *πνεύματος εὐωδία φέρεται μέσην ἔχουσα τάξιν κ. τ. λ.* — 9. *διηρημένων* Schneid. corr. ex lib. X, loc. laud.; *εἰρημένων* cod. Mill. — 10. *τοῦ κάτωθεν* cod. correx. Mill. — 14. *οἶδεν* Mill.; *οὐδὲν* cod.

Διὸ πάσῃ φρονήσει καὶ συνέσει βιάζεται κατέχειν εἰς ἑαυτὸ τὴν λαμπηδόνα καὶ τὸν σπινθῆρα τοῦ φωτὸς μετὰ τῆς τοῦ πνεύματος εὐωδίας. Καὶ τούτων ἔστιν ἰδεῖν τῆς φύσεως εἰκόνα κατὰ πρόσωπον ἀνθρώπου, κόρην ὀφθαλμοῦ, σκοτεινὴν ἐκ τῶν ὑποκειμένων ὑδάτων, πεφωτισμένην πνεύματι. Ὡς οὖν ἀντιποιεῖται (140) τὸ σκότος τῆς λαμπηδόνος, ἵνα ἔχῃ τὸν σπινθῆρα δουλεύοντα καὶ βλέπῃ, οὕτως ἀντιποιεῖται τὸ φῶς καὶ τὸ πνεῦμα τῆς δυνάμεως τῆς ἑαυτῶν· καὶ σπεύδουσιν ἄραι καὶ ἀνακομίσασθαι πρὸς ἑαυτὰ τὰς μεμιγμένας αὐτῶν δυνάμεις εἰς τὸ ὑποκείμενον ὕδωρ σκοτεινὸν καὶ φοβερόν. Πᾶσαι δὲ αἱ δυνάμεις τῶν τριῶν ἀρχῶν οὖσαι κατ' ἀριθμὸν ἀπειράκις ἄπειροι, εἰσὶν ἑκάστη κατὰ τὴν οὐσίαν τὴν ἑαυτῆς φρόνιμοι καὶ νοεραί· ἀναρίθμητοι δὲ τὸ πλῆθος, φρόνιμοί τε οὖσαι καὶ νοεραί, ἐπειδὰν μένωσι κατ' αὐτάς, ἡσυχάζουσι πᾶσαι· ἐὰν δὲ πλησιάσῃ δύναμις δυνάμει, ἡ ἀνομοιότης τῆς παραθέσεως ἐργάζεται κίνησίν τινα καὶ ἐνέργειαν ἀπὸ τῆς κινήσεως μεμορφωμένην κατὰ τὴν συνδρομὴν τῆς παραθέσεως τῶν συνελθουσῶν δυνάμεων. Γίνεται γὰρ τῶν δυ-

mente et cogitatione nituntur ut in se splendorem scintillamque lucis cum suavi spiritus odoramento retineant. Talis naturæ similitudinem facies humana refert, in qua pupilla oculi cernitur, ex subjacentibus aquis obscura simul et illuminata spiritu. Quemadmodum ergo quærunt splendorem tenebræ, ut inservientem sibi scintillam habeant et cæcæ esse desinant, ita suas ipsorum virtutes lux et spiritus quærunt et conantur ut attollant et ad se recipiant mixtas in subjacentem aquam caliginosam ac formidandam. Omnes autem principiorum trium virtutes, quum sint numero innumerabiles, pro natura quæque sua, sensu ac mente præditæ sunt; quarum quum innumera sit multitudo et sensu veri ac mente præditæ sint, quamdiu in se remanent, quiescunt omnes; at, si accesserit virtuti virtus, ex eo quod juxtapositæ dissimiles sint, fit motus aliquis, et e motu actio, e concursu coeuntium virtutum orta. Eodem enim modo concurrunt virtutes quo figura sigilli, rebus impressa, simile sibi quidquid admotum est informat. Quum igitur infi-

1. εἰς ἑαυτὸν cod. corr. Mill. — 2. τὸν σπινθῆρα Schneidew. corr. ex loc. laud.; σπινθῆρα cod. corr. Mill. — 6. δουλεύονται cod. Mill. – βλέπει cod.; βλέπῃ Mill. — 8. ἑαυτὰς cod. Mill.; ἑαυτὰ Schneid. — 11-12. φρόνιμοι, νοεραί, ἀναρίθμητοι τὸ πλῆθος cod. Mill. corr. Schn. — 12. τε] δὲ cod. Mill. — 13. ἡσυχάζουσαι cod.

νάμεων ἡ συνδρομὴ οἱονεί τις τύπος σφραγῖδος κατὰ συνδρομὴν ἀποπληγεὶς παραπλησίως πρὸς τὸν ἐκτυποῦντα τὰς ἀναφερομένας οὐσίας. Ἐπεὶ οὖν ἄπειροι μὲν κατ' ἀριθμὸν τῶν τριῶν ἀρχῶν αἱ δυνάμεις, ἐκ δὲ τῶν ἀπείρων δυνάμεων ἄπειροι συνδρομαί, ἀναγκαίως γεγόνασιν ἀπείρων σφραγίδων εἰκόνες. Αὗται οὖν εἰσὶν αἱ εἰκόνες αἱ τῶν διαφόρων ζῴων ἰδέαι. Γέγονεν οὖν ἐκ πρώτης τῶν τριῶν ἀρχῶν συνδρομῆς μεγάλης μεγάλη τις ἰδέα σφραγῖδος, οὐρανὸς καὶ γῆ. Σχῆμα δὲ ἔχουσιν ὁ οὐρανὸς καὶ ἡ γῆ μήτρᾳ παραπλήσιον τὸν ὀμφαλὸν ἐχούσῃ μέσον, καὶ εἰ, φησίν, ὑπὸ ὄψιν ἀγαγεῖν θέλει τις τὸ σχῆμα τοῦτο, ἔγκυον μήτραν ὁποίου βούλεται ζῴου τεχνικῶς ἐρευνησάτω, καὶ εὑρήσει τὸ ἐκτύπωμα τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῶν ἐν μέσῳ πάντων ἀπαραλλάκτως ὑποκειμένων· γέγονε δὲ οὐρανοῦ καὶ γῆς τὸ σχῆμα τοιοῦτον οἱονεὶ μήτρᾳ παραπλήσιον κατὰ (141) τὴν πρώτην συνδρομήν. Ἐν δ' αὖ τῷ μέσῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς γεγόνασιν ἄπειροι δυνάμεων συνδρομαί· καὶ ἑκάστη συνδρομὴ οὐκ ἄλλο τι εἰργάσατο καὶ ἐξετύπωσεν ἢ σφραγῖδα οὐρανοῦ καὶ γῆς

nitæ numero sint trium principiorum virtutes, et ex infinitis infiniti concursus, infinitorum sigillorum necessario fiunt imagines : variorum animalium eæ formæ sunt. Facta est igitur e primo trium principiorum concursu sigilli magni magna forma quædam, cœlum scilicet et terra. Similis autem est cœli terræque forma utero, quo in medio cernitur umbilicus; qui hanc formam oculis videre suis voluerit, si gravidum cujuslibet animalis uterum sedulo inspexerit, ibi cœli terræque et eorum, quæ mediis in rebus incommutabiliter subjacent, reperiet formam : ita similem utero cœli terræque formam primus concursus effecit. Rursus cœli ac terræ in medio fuere infiniti virtutum concursus; quorum unusquisque nihil aliud fecit et formavit quam cœli ac terræ sigillum, utero consimile. Rursus et in terra sigillis ex

1. *οἱονεί* cod. Mill.; *οἷον εἰ* Bernays. — 2. *ἀποπληγεὶς* Schneid.; *ἀπὸ πληγῆς* cod. Mill.; *ἀποπλάσῃ* Bernaysius. Conf. infra, lib. X, loc. laud. — 7-8. *ἰδέα, σφραγὶς οὐρανοῦ καὶ γῆς* cod. Mill. correcta ex loc. laud. — 12. *ἀπαραλάκτως* cod. — *ὑποκειμένων* Schneidew.; *ὑποκείμενον* cod. Mill. Bern. — 13. *παραπλήσιον κατὰ* Schneidew.; *παραπλήσιον. Κατὰ* cod. Mill. — 14. *συνδρομήν. Ἐν* Schneidew.; *συνδρομὴν ἐν* cod. Mill. — *δ' αὖ τῷ μέσῳ τοῦ οὐρανοῦ καὶ τῆς γῆς* Bernaysius; *αὐτῷ μέσῳ τῷ οὐρανῷ καὶ τῇ γῇ* cod. Millerus.

παραπλήσιον μήτρᾳ. Ἐν αὐτῇ δὲ [τῇ γῇ] ἀνέφυσαν ἐκ τῶν ἀπείρων σφραγίδων διαφόρων ζῴων ἄπειρα πλήθη. Εἰς δὲ ταύτην πᾶσαν τὴν ὑπὸ τὸν οὐρανὸν ἐν τοῖς διαφόροις ζῴοις ἀπειρίαν κατέσπαρται καὶ καταμεμέρισται μετὰ τοῦ φωτὸς ἡ τοῦ πνεύματος ἄνωθεν εὐωδία. Γέγονεν οὖν ἐκ τοῦ ὕδατος πρωτόγονος ἀρχὴ ἄνεμος σφοδρὸς καὶ λάβρος καὶ πάσης γενέσεως αἴτιος. Βρασμὸν γάρ τινα ἐμποιῶν τοῖς ὕδασιν ἀπὸ τῶν ὑδάτων διεγείρει κύματα· ἡ δὲ τῶν κυμάτων κίνησις, οἱονεί τις οὖσα ὁρμὴ ἐγκύμων ἀ[ρχή ἐστι τοῦ] γεγονέναι τὸν ἄνθρωπον ἢ τὸν νοῦν, ὁπόταν ὑπὸ τῆς τοῦ πνεύματος ὁρμῆς ὀργήσασα ἐπείγηται. Ἐπὰν δὲ τοῦτο τὸ ὑπὸ τοῦ ἀνέμου κῦμα ἐκ τοῦ ὕδατος ἐγερθὲν καὶ ἔγκυμον εἰργασμένον [κατὰ] φύσιν γέννημα θηλείας εἰλήφῃ ἐν ἑαυτῷ, κατέχει τὸ κατεσπαρμένον φῶς ἄνωθεν μετὰ τῆς τοῦ πνεύματος εὐωδίας, τουτέστι νοῦν μεμορφωμένον ἐν τοῖς

infinitis infinitæ factæ sunt variorum animalium multitudines. Quam in infinitam variorum terrestrium animalium multitudinem cunctam dispersus et divisus desuper est simul cum luce suavis odor spiritus. Natum igitur ex aqua primogenitum principium, scilicet ventus vehemens et rapidus omnisque generationis causa. Nam, dum fervescere cogit aquas, ex aquis excitat fluctus : fluctuum (*κυμάτων*) autem motus, quasi uteri quidam impetus gravidus (*ἐγκύμων*) principium est ortus hominis aut mentis, quum spiritus impetu fecundus irruit. Quum vero hic fluctus, a vento ex aqua excitus et gravidus factus, femineam generandi vim receperit, infusam desuper cum spiritus odore lucem continet, mentem dico, variis speciebus informatam;

1. *αὐτῇ* cod. Mill.; *αὖ γῇ* Schneid. Legendum suspicor *αὐτῇ δὲ τῇ γῇ*. — 2. *πλήθη* Mill.; *πλεῖον* cod. — 2-3. *πᾶσαν τὴν* Bern.; *πᾶσαν ἡ* cod.; *πᾶσα ἡ* conj. Mill. — 3. *ἀπειρίαν* Bern. Schn.; *ἀπειρία* cod. Mill. — 7-8. *κίνησις* Schneid.; *γένεσις* cod. Mill. Bernays. Conf. infra, lib. X, § 11 : *ἐκ τῆς τῶν ὑδάτων κινήσεως*. — 8-9. Post *ὁρμὴ* quædam excidisse e tenore disputationis manifestum fit, idque confirmat Epitome iis quæ de serpentis sibilo apponit. Schneidew. Hæc sic legit Schneid. : *ὁρμὴ . . . ἐγκύμονα γεγονέναι τοῦ ἀνθρώπου ἢ τοῦ νοῦ*. Cod. et Mill. habent : *τὸν ἄνθρωπον ἢ τὸν βοῦν*. Excidisse quidem videntur plura, non autem post *ὁρμὴ* sed post *ἐγκύμονα* et sic legendum suspicor *ὁρμὴ ἐγκύμων ἀ[ρχή ἐστι τοῦ] γεγονέναι τὸν ἄνθρωπον ἢ τὸν νοῦν*. Vide infra, p. 215, 11, *ἡ ἀρχὴ τῆς γεννήσεως κ τ. λ.* — 9-10. *ὀργήσασα* Schn.; *ὁρμήσασα* cod. Mill. Conf. infra, lib. X, § 11. — 11. *ἔγκυμον εἰργασμένον* Schn.; *ἐγκύμονα ἐργασάμενον* cod. Mill. Bern. – *τὴν φύσιν* cod. Mill. Legendum *κατὰ φύσιν* vel *φύσει*. — 12. *εἰλήφῃ* Bern.; *εἰληφὸς* cod. Mill. – *κατέχει* Bern.; *καὶ ἔχον* cod. Mill. — 13. *τουτέστιν οὖν* cod. corr. Mill.

διαφόροις εἴδεσιν, ὁ ἐσλι τέλειος Θεός, ὃς ἐξ ἀγεννήτου φωτὸς ἄνωθεν καὶ πνεύματος κατενηνεγμένος εἰς ἀνθρωπίνην φύσιν, ὥσπερ εἰς ναόν, φορᾷ φύσεως καὶ ἀνέμου κινήματι, γεννηθεὶς ἐξ ὕδατος, συγκεκραμένος καὶ καταμεμιγμένος τοῖς σώμασιν οἱονεὶ ἅλας τῶν γενομένων ὑπάρχων καὶ φῶς τοῦ σκότους, ἀπὸ τῶν σωμάτων σπεύδων λυθῆναι καὶ μὴ δυνάμενος τὴν λύσιν εὑρεῖν καὶ τὴν διέξοδον ἑαυτοῦ· καταμέμικται γὰρ σπινθήρ[142] τις ἐλάχισλος ἀπ[ὸ τοῦ φωτὸς μετὰ τῆς] ὀσμῆς ἄνωθεν, ἀ[πὸ τοῦ πνεύματος, ἀκτίν]ος δίκην ἐν τὸ . . . . . λύσιν συγκρίτοις πολλῶν, ὡς, φησίν, ἐν τῷ ψαλμῷ λέγει· πᾶσα οὖν φροντὶς καὶ ἐπιμέλεια τοῦ φωτὸς ἄνωθεν ἐσλί, πῶς καὶ τίνα τρόπον ἀπὸ τοῦ θανάτου τοῦ πονηροῦ καὶ σκοτεινοῦ σώματος ἀπολυθείη ὁ νοῦς, ἀπὸ τοῦ πατρὸς τοῦ κάτωθεν,

hæc vero lux est perfectus Deus ab æterna luce in humanam naturam, tanquam in templum, naturæ vi et venti motu delapsus, natus ex aqua, conflatus commixtusque corporibus ut sal rerum tenebrarumque lux; qui neque e corporibus exsolvi, etiamsi velit, neque ullo modo egredi potest : inserta est enim illis parvula scintilla e perfecto decerpta lumine, cum odore superno spiritus veluti..... ut dicitur in psalmo : omnis igitur superni luminis cura et sollicitudo eo tendit, qua ratione et quo modo a morte pravi et tenebrosi corporis liberetur mens, ab illo in-

1. Θεὸς, ὃς Schneid.; Θεὸς cod. Mill. Bern. — 2. κατενηνεγμένον cod. corr. Mill. — 4. συγκεκραμένος Schneidew.; συγκεκρυμμένος cod. Mill.; συγκεκριμένος Bern. Conf. infra, p. 220, 13, 16; 222, 1, 2, 9. — ἅλας τῶν Bern.; ἀλάλων cod. Millerus. — 5. ὑπάρχον cod. Mill.; ὑπάρχων Schneid. — 5-6. σπεῦδον cod. corr. Mill. — 7 sqq. Hæc sic leguntur in cod. et apud Mill. et Schn.: σπινθήρ τις ἐλάχισλος ἀπ... ᾄσμα ἄνωθεν ἀ... νος δίκην ἐν το... λυσυγκρίτοις πολλῶν κ. τ. λ. Quæ sic restituenda esse suspicor: καταμέμικται γὰρ σπινθήρ τις ἐλάχισλος ἀπ[ὸ τοῦ φωτὸς μετὰ τῆς] ὀσμῆς ἄνωθεν ἀ[πὸ τοῦ πνεύματος, ἀκτίν]ος δίκην ἐν[τὸς λυτοῖς σύγκρισιν καὶ] λύσιν συγκρίτοις πολλῶν. — 9. Conf. lib. X, § 11. Ibi multa similia invenimus quibus quæ desunt possunt restitui. Hæc ibi leguntur : διὸ ἐξόα ἐκ τῆς τῶν ὑδάτων μίξεως κατὰ τὸν ψαλμῳδὸν ὡς λέγουσι. Πᾶσα οὖν ἡ φροντὶς τοῦ ἄνω φωτός ἐσλιν, ὅπως ῥύσηται κ. τ. λ. Inde jam certiores reddimur, ut notat Bernaysius, excidisse ante ὡς, φησὶν, ἐν τῷ ψαλμῷ λέγει, locum aliquem Davidicorum psalmorum in quo de clamore ex aquis sublato ageretur. Talis autem locus reperitur Psalm. XXIX, 3 : Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν. — 11. ἐσλὶ. Πῶς καὶ τίνα τρόπον Millerus. — 12. ἀπολυθείη Bernaysius; ἀπολυθεὶς cod. Millerus.

ὃς ἐστιν ὁ ἄνεμος ἐν βρασμῷ καὶ ταράχῳ ἐπεγείρας κύματα καὶ γεννήσας νοῦν τέλειον υἱὸν ἑαυτοῦ, οὐκ ὄντα ἴδιον ἑαυτοῦ κατ' οὐσίαν. Ἄνωθεν γὰρ ἦν ἀκτὶς ἀπὸ τοῦ τελείου φωτὸς ἐκείνου, ἐν τῷ σκοτεινῷ καὶ φοβερῷ καὶ πικρῷ καὶ μιαρῷ ὕδατι κεκρατημένος, ὅπερ ἐστὶ πνεῦμα φωτεινὸν ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος· ἐπεὶ οὖν [ἐγερθέντα ἐκ τῶν ὑδ]άτων κύματα [γέννημα θηλείας εἰλήφωσιν ἐν ἑαυτοῖς, κατέχουσιν ἐν τοῖς] διαφόροις [εἴδ]εσιν, ὥσπερ μήτρα τις, [τὸ φῶς] κατεσπαρμένον . . . . . ὡς ἐπὶ πάντων τῶν ζῴων θεωρεῖται. Ὁ δὲ ἄνεμος λάβρος ὁμοῦ καὶ σφοδρὸς φερόμενός ἐστι τῷ συρίγματι ὄφει παραπλήσιος. Πρῶτον οὖν ἀπὸ τοῦ ἀνέμου, τουτέστιν ἀπὸ τοῦ ὄφεως, ἡ ἀρχὴ τῆς γεννήσεως τὸν εἰρημένον τρόπον γέγονε, πάντων ὁμοῦ τὴν ἀρχὴν τῆς γεννήσεως εἰληφότων. Ἐπεὶ οὖν κατείληπται τὸ φῶς καὶ τὸ πνεῦμα εἰς τὴν ἀκάθαρτον, φησί, καὶ πολυπήμονα μήτραν ἄτακτον, εἴσω ὁ ὄφις εἰσερχόμε-

ferno patre, qui ventus est cujus impulsu ferbuerunt ac turbatæ sunt aquæ, quique mentem generavit perfectam suam prolem, non tamen consimili natura. Nam superne fuit radius a perfecta illa luce demissus et in obscura ac terribili et amara et fœda aqua vinctus, et ille est spiritus lucidus illatus super aquam; quum igitur fluctus aquarum motu excitatus femineam generandi vim receperit, continet, veluti matrix aliqua, in diversis speciebus infusam lucem..... sicut in omnibus animalibus observari potest. Ventus autem rapide ac vehementer se movens serpenti similis est sibilo. Ergo a vento, id est a serpente, eo quem supra diximus modo, exstitit generationis principium, tum quum simul omnia generari cœperunt. Ubi igitur in se recepit lucem ac spiritum impurus et infelix uterus ille incompositusque.

1. βρασμῷ Schneid.; βρόμῳ cod. Mill. Bern. Conf. infra, lib. X, § 11 : ἀνέμου ἐπεγείροντος βρασμὸν καὶ τάραχον. — 4. σκοτεινῷ Schneid.; σκολιῷ cod. Mill.; σκοτίῳ Bern. – κεκρατημένον cod. Mill. — 5. ὕδατος Bern.; φωτὸς cod. Mill. — 5 sqq. Hæc sic leguntur in cod. et apud Mill. et Schneid.: ἐπεὶ οὖν . . . . . ημάτων κύματα . . . . . διαφόροις γ . . . . . εσι μήτρα τίς . . . . . κατεσπαρμέν . . . . . ὡς ἐπὶ πάντων τῶν ζῴων θεωρεῖται. Quæ desunt supplevi ex eis quæ supra leguntur, p. 213, 10-14. — 9. σφοδρὸς Schneid.; φοβερὸς cod. Mill. Bern. — 10. συρίγματι Schneid.; σύρματι cod. Mill. Bern. Conf. infra, lib. X, § 11. Ibi legimus: τοῦτον δὲ ἐπιτελεῖν εἶδος συρίγματι ὄφεως παραπλήσιον. – παραπλήσιος. Πρῶτον οὖν Schneidew.; παραπλήσιος πλερωτός cod. Bern.; παραπλήσιος πλερωτῷ· ὡς conj. Mill. — 14. εἴσω Schneid.; εἰς ἣν cod. Mill. Bern.

νος, ὁ ἄνεμος τοῦ σκότους, ὁ πρωτόγονος τῶν ὑδάτων, γεννᾷ τὸν ἄνθρωπον, καὶ ἄλλο οὐδὲν εἶδος οὔτε ἀγαπᾷ οὔτε γνωρίζει ἡ ἀκάθαρτος μήτρα. Ὁμοιωθεὶς οὖν ὁ ἄνωθεν τοῦ φωτὸς τέλειος Λόγος τῷ θηρίῳ τῷ ὄφει, εἰσῆλθεν εἰς τὴν ἀκάθαρτον μήτραν, ἐξαπατήσας αὐτὴν τοῦ θηρίου τῷ ὁμοιώματι, ἵνα λύσῃ τὰ δεσμὰ τὰ περικείμενα τῷ τελείῳ νοῒ τῷ γεννωμένῳ ἐν ἀκαθαρσίᾳ μήτρας ὑπὸ τοῦ (143) πρωτοτόκου τοῦ ὕδατος, ὄφεως, ἀνέμου, θηρίου. Αὕτη, φησίν, ἐστὶν ἡ τοῦ δούλου μορφή, καὶ αὕτη ἡ ἀνάγκη τοῦ κατελθεῖν τὸν Λόγον τοῦ Θεοῦ εἰς μήτραν παρθένου. Ἀλλ' οὐκ ἔστι, φησίν, ἀρκετὸν τὸ εἰσεληλυθέναι τὸν τέλειον ἄνθρωπον, Λόγον, εἰς μήτραν παρθένου καὶ λῦσαι τὰς ὠδῖνας τὰς ἐν ἐκείνῳ τῷ σκότει· ἀλλὰ γὰρ μετὰ τὸ τὰ ἐν μήτρᾳ μυστήρια μυσαρὰ εἰσελθεῖν ἀπελούσατο καὶ ἔπιε τὸ ποτήριον ζῶντος ὕδατος ἀλλομένου, ὃ δεῖ πάντως πιεῖν τὸν μέλλοντα ἀποδιδύσκεσθαι τὴν δουλικὴν μορφὴν καὶ ἐπενδύσασθαι ἔνδυμα οὐράνιον.

20. Ταῦτά ἐστιν ἃ λέγουσιν, ὡς δι' ὀλίγου ἐστὶν εἰπεῖν, οἱ

tum intus ingressus serpens, tenebrarum ventus, primogenitus aquarum, gignit hominem, neque aliam ullam aut dilexit aut novit impurus ille uterus speciem. Perfectum igitur supernæ lucis Verbum, induta monstruosi serpentis specie, in uterum impurum bestiæ similitudine deceptum intravit, ut solveret vincula circumdata menti perfectæ, quæ nascitur in impuro utero, a primogenito aquæ : serpente, vento, bestia. Hæc est, inquit, illa servi forma, et hæc illa necessitas ut Dei Verbum in uterum virginis descenderet. Non autem satis est perfectum hominem, Verbum, in uterum virginis ingressum hos tenebrarum dolores ac luctus solvisse; sed, postquam ingressus est in impura uteri mysteria, ablutus est et poculum vivæ aquæ salientis bibit, quod debet omnino bibere quicumque formam servilem exuere et vestem cœlestem induere voluerit.

20. Hæc et talia jactitant, utquidem breviter dicere potuimus, sethianæ

4. εἰσῆλθεν Bern.; εἰσελθὼν cod. Mill. — 7. πρωτοτόκου τοῦ Bern.; πρωτοτόκου cod. Mill. – Hæc sic legit Schneidew.: ἀνέμου. Θηρίου αὐτὴ κ. τ. λ. — 8. ἡ τοῦ δούλου μορφή. Cf. B. Pauli ad Philipp. II, 7 : μορφὴν δούλου λαβών, et infra, l. X, § 11. — 11. λῦσαι τὰς ὠδῖνας. Conf. *Act. Ap.* II, 24. — 11-12. τὸ τὰ ἐν μήτρᾳ Schneid.; τὸ ἐν μήτρᾳ cod.; τὰ ἐν μήτρᾳ conj. Mill. — 12. εἰσελθεῖν cod. Schn.; ἐξελθὼν susp. Mill. — 13. Cf. Evang. B. Joan. IV, 7, 14. – πιεῖν Mill.; ποιεῖν cod.

προσλάται τῶν Σηθιανῶν λόγων. Ἔστι δὲ ὁ λόγος αὐτῶν συγκείμενος ἐκ φυσικῶν καὶ πρὸς ἕτερα εἰρημένων ῥημάτων, ἃ εἰς τὸν ἴδιον λόγον μετάγοντες διηγοῦνται καθάπερ εἴπομεν. Λέγουσι δὲ καὶ Μωσέα αὐτῶν συναίρεσθαι τῷ λόγῳ, ἐπὰν εἴπῃ «Σκότος καὶ γνόφος «καὶ θύελλα·» οὗτοι, φησίν, οἱ τρεῖς λόγοι· ἢ ὅταν εἴπῃ ἐν παραδείσῳ γεγονέναι τρεῖς, Ἀδάμ, Εὔαν, ὄφιν· ἢ ὅταν λέγῃ τρεῖς, Καΐν, Ἄβελ, Σήθ, καὶ πάλιν τρεῖς, Σήμ, Χάμ, Ἰάφεθ· ἢ ὅταν λέγῃ τρεῖς πατριάρχας, Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ· ἢ ὅταν λέγῃ τρεῖς ἡμέρας πρὸ ἡλίου καὶ σελήνης γεγονέναι· ἢ ὅταν λέγῃ τρεῖς νόμους, ἀπαγορευτικόν, ἐφετικόν, διατιμητικόν. Ἀπαγορευτικὸς δέ ἐστι νόμος· «Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, «ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ μὴ φάγητε.» Ἐν δὲ τῷ λέγειν· «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς «συγγενείας σου καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω,» ἐφετικός, φησίν, οὗτος ὁ νόμος· ἐλομένῳ γὰρ ἔστιν ἐξελθεῖν, μὴ[144] ἐλομένῳ δὲ μένειν. Διατιμητικὸς δὲ νόμος ἐστὶν ὁ λέγων· «Οὐ μοιχεύσεις, «οὐ φονεύσεις, οὐ κλέψεις·» διατετίμηται γὰρ ἑκάστου τῶν ἀδικη-

doctrinæ antistites. Horum autem disciplina constat e naturalibus atque alio spectantibus verbis, quæ in sua convertentes explicant sicut dictum est. Quin et a Mose contendunt confirmari doctrinam suam, quum dixerit, «Te«nebræ et caligo et turbo,» hæc, inquiunt, illa tria verba sunt, vel etiam quum dixerit fuisse in paradiso tres, Adam, Evam, Serpentem; vel tres nominaverit Cain, Abel, Seth, rursusque tres Sem, Cham, Japhet; patriarchas quoque tres, Abraham, Isaac, Jacob; tum dies ante solem et lunam tres; tum tres leges esse, qua prohibeatur, qua concedatur aliquid, qua puniatur. Prohibitoria autem lex hujusmodi: «Ab omni ligno quod est in paradiso come«dendo vesceris, a ligno autem cognoscendi boni et mali nolite comedere.» Lex vero hæc, «Egredere e terra tua et a cognatione tua, et huc in terram «quam ostendam tibi, veni,» hæc, inquam, lex est quæ concedit: nam et egredi volenti et manere nolenti licet. Jam hæ leges castigatoriæ, «Non mœ«chaberis, non occides, non furaberis,» nam sua cuique peccato pœna est.

1. προσλάται cod. corr. Schn.; πρωτοσλάται Mill. — 2. ἴδιον Schneid.; ἀΐδιον cod. Mill. — 11. φαγεῖν cod. Miller. Ex *Gen.* correx. Schneid. — 11-13. *Gen.* II, 16, 17. — 13-14. *Gen.* XII, 1. — 16-17. Conf. *Exod.* XX, 13, 15, et *Deut.* V, 17.

μάτων ζημία. Ἔστι δὲ αὐτοῖς ἡ πᾶσα διδασκαλία τοῦ λόγου ἀπὸ τῶν παλαιῶν θεολόγων, Μουσαίου καὶ Λίνου καὶ τοῦ τὰς τελετὰς μάλιστα καὶ τὰ μυστήρια καταδείξαντος Ὀρφέως. Ὁ γὰρ περὶ τῆς μήτρας αὐτῶν καὶ τοῦ Ὀρφέως λόγος, καὶ ὁ φαλλός, ὅπερ ἐστὶν ἀνδρεία, διαῤῥήδην οὕτως ἐστὶν ἐν τοῖς Βακχικοῖς τοῦ Ὀρφέως. Τετέλεσται δὲ ταῦτα καὶ παραδέδοται ἀνθρώποις πρὸ τῆς Κελεοῦ καὶ Τριπτολέμου καὶ Δήμητρος καὶ Κόρης καὶ Διονύσου ἐν Ἐλευσῖνι τελετῆς, ἐν Φλιοῦντι τῆς Ἀττικῆς. Πρὸ γὰρ τῶν Ἐλευσινίων μυστηρίων ἔστι [τὰ] ἐν τῇ Φλιοῦντι τῆς λεγομένης Μεγάλης ὄργια. Ἔστι δὲ παστὰς ἐν αὐτῇ, ἐπὶ δὲ τῆς παστάδος ἐγγέγραπται μέχρι σήμερον ἡ πάντων τῶν εἰρημένων λόγων ἰδέα. Πολλὰ μὲν οὖν ἐστὶ

Illi autem totam suam ab antiquis theologis, a Musæo, a Lino, ab Orpheo illo qui initiationes potissimum et mysteria docuit, disciplinam mutuati sunt. Nam et pariter Orpheus de utero locutus est, et de phallo, quo significatur virilitas, atque hæc omnia ad verbum in Bacchicis Orphei leguntur. Et antequam Celei et Triptolemi et Cereris et Proserpinæ et Bacchi initia Eleusine fierent, factæ sunt Phliunte in Attica initiationes et hominibus traditæ. Nam ante Eleusinia mysteria, Phliunte Magnæ vocatæ orgia celebrabantur. Phliunte porticus est, cui inscripta cernitur hodieque species omnium quæ dicta sunt. Multa depicta videntur in porticu illa,

1. ἀπὸ Schneid.; ὑπὸ cod. Mill. — 4. Cod. Mill. et Schneid habent : ὁ ὀμφαλός quod corrigendum esse censuit v. d. Guigniaut et legendum ὁ φαλλὸς. Recte eum censuisse vocabulum ἀνδρεία, quod sequitur, probat. — 5. De his vide commentariolum in *Nuntiis litterariis* Gottingensibus, 1852; *Nachrichten*, n. 7, p. 95-99, et in *Mnemosyne*, II, p. 383 sqq. et *Comment. de mysteriis Cereris et Proserpinæ*, a v. d. Guigniaut, p. 70-75. – ἀνδρεία cod. Mill.; ἁρμονία Schn. — 8. Φλιοῦντι τῆς Ἀττικῆς Schneidew.; Φλοιοῦντι τ. Ἀ. cod.; Φλυῆσιν vel Φλυῇ vel Φλυᾷ τ. Ἀ. olim Schneid. Conf. *Comment. de myster. Cereris et Proserpinæ*, a V. D. Guigniaut, p. 72; Φλυείᾳ τ. Ἀ. Brinkius coll. Harpocratione s. v.; Φλιοῦντι τῆς Ἀχαίας A. Meinekius, *Vindic. Strab.* p. 242. Conf. Pausan. I, xxxi, 4. — 9. Φλοιοῦντι cod.; τῆς λεγομένης Μεγάλης ὄργια Schneid.; λεγομένη μεγαληγορία cod.; λεγομένη μεγάλη ἑορτή susp. Mill.; ἔστιν τὰ Φλυῆσι λεγόμενα μεγάλα ὄργια olim Schneidew.; μεγάλα ὄργια Bunsenius, *Hippolytus and his age*, 2ª ed. London, 1854, I, p. 347; λεγόμενα μεγάλα vel Μεγάλης ὄργια R. Scottus; ἣν τὰ τῆς ἐν Φλυείᾳ λεγομένης μεγάλης (θεᾶς) ὄργια Brinkius; τὰ λεγόμενα Μεγάλης ὄργια A. Meinekius, loc. laud. Conf. Pausan. I, xxxi, 4. Schn. — 10. ἐγκέγραπται cod. — 10 sqq. Cf. v. d. Alf. Maury, *l. l.* IX, p. 149. — 11. ἡ πάντων Mill.; ἡ τὰ τῶν πάντων cod.

τὰ ἐπὶ τῆς πασλάδος ἐκείνης ἐγγεγραμμένα· περὶ ὧν καὶ Πλούταρχος ποιεῖται λόγους ἐν ταῖς πρὸς Ἐμπεδοκλέα δέκα βίβλοις· ἔσλι δ' ἐν τοῖς πυλεῶσι καὶ πρεσβύτης τις ἐγγεγραμμένος, πολιὸς, πλερωτὸς, ἐντεταμένην ἔχων τὴν αἰσχύνην, γυναῖκα ἀποφεύγουσαν διώκων κυανοειδῆ. Ἐπιγέγραπλαι δὲ ἐπὶ τοῦ πρεσβύτου· Φάος ῥυέντης, ἐπὶ δὲ τῆς γυναικός· περηφικόλα. Ἔοικε δὲ εἶναι κατὰ τὸν Σηθιανῶν λόγον ὁ Φάος ῥυέντης τὸ φῶς, τὸ δὲ σκοτεινὸν ὕδωρ ἡ Φικόλα, τὸ δὲ ἐν μέσῳ τούτων διάσλημα ἁρμονία (145) πνεύματος μεταξὺ τεταγμένου. Τὸ δὲ ὄνομα τοῦ Φάους ῥυέντου τὴν ῥύσιν ἄνωθεν τοῦ Φωτὸς, ὡς λέγουσι, δηλοῖ κάτω. Ὥσλε εὐλόγως ἄν τις εἴποι τοὺς Σηθιανοὺς ἐγγύς που τελεῖν παρ' αὐτοῖς τὰ τῆς Μεγάλης Φλυῆσιν ὄργια. Τῇ δὲ διαιρέσει τῇ τριχῇ μαρτυρεῖν ἔοικε καὶ ὁ ποιητὴς λέγων· « Τριχθὰ δὲ πάντα δέδασλαι, ἕκασλα δ' ἔμμορε τι-

de quibus et Plutarchus loquitur in decem contra Empedoclem libris; occurrit in pylonibus senex quidam inscriptus, canus, alatus, intenta habens pudenda, feminam quamdam cæruleam insectans fugientem. Leguntur autem hæc seni inscripta, *Φάος ῥυέντης*; jam feminæ, *περηφικόλα*. Significare autem videtur, secundum Sethianos, *Φᾶος ῥυέντης* lucem, *φικόλα* obscuram aquam, spatium vero quod his interjacet, videtur esse concentus ab interposito spiritu factus. Isto autem *Φάους ῥυέντου* nomine, ut dicunt, desuper in inferiora delapsa lux designatur. Unde jure contendi potest celebrari apud Sethianos Magnæ Matris Phlyasiorum orgia. Et divisioni trifariæ addere testimonium videtur his verbis poeta, « In tres partes omnia

2. *ταῖς* Millerus; *τοῖς* cod. Pro *πρὸς* dicere debebat *εἰς*, quod intelligitur ex Lampriæ catalogo (Fabric. *Bibl. Gr.* t. V, p. 160) qui habet *εἰς Ἐμπεδοκλέα περὶ τῆς ε'' οὐσίας βιβλία ε'* Mill. — 3. *δ' ἐν τοῖς* Mill.; *δὲ τοῖς* cod. — *πλείοσι* cod. Schn.; *πυλεῶσι* susp. Mill. — 3-4. *πλερωτὸς* Millerus; *πετρωτὸς* cod. — 5. *κυανοειδῆ* Schn.; *κυνοειδῆ* cod. Mill. — 6. *περηφικόλα* cod. Mill. Schn.; *Περσεφόνη Φλυά* Brink. — 7. *Φάος ῥυέντης* Schneid.; *Φάνης ῥυείς* Brinkius, *Coll. hymno Orphico*, V, 7: *πάντη δινηθεὶς πλερύγων ῥιπαῖς κατὰ κόσμον· || λαμπρὸν ἄγων Φάος ἀγνόν, ἀφ' οὗ σε Φάνητα κικλήσκω,* || *ἠδὲ Πρίηπον ἄνακτα.* Schneidew. — *τὸ δὲ σκοτεινὸν ὕδωρ* Schneid.; *τὸ σκοτεινόν· ὕδωρ δὲ* cod. Miller. — 8. *Φικόλα* cod.; *Περσεφόνη Φλυά* Brink. — 9. *Φάνητος ῥυέντος* Brink. — 10. *κάτω* cod.; *πρὸς τὸ κάτω* Brink. — 11-12. *τὰ τῆς Μεγάλης Φλυῆσιν ὄργια* Schneidew.; *τ. τ. μεγάλης Φλοιᾶς ἰονόργια* cod. Millerus qui susp. *συνόργια*; *τ. τ.* M. *Φλιασίας ὄργια* Buns. loc. laud.; *τ. τ.* M. *Φλιασίων ὄργια* vide Guigniaut, loc. laud., R. Scottus et Meinek.; *τὰ τῆς μεγάλης Θεᾶς Φλυᾶς Φλυῆσιν ὄργια* Brink. — 13. Hom. *Il.* XV, 189.

« μῆς· » τουτέστι τῶν τριχῆ διηρημένων ἕκαστον εἴληφε δύναμιν. Καὶ τὸ ὕδωρ δὲ τὸ ὑποκείμενον κάτω σκοτεινόν, ὅτι δέδυκε τὸ φῶς, καὶ ἀνακομίσασθαι καὶ λαβεῖν ἄνωθεν δεῖ τὸν κατενηνεγμένον σπινθῆρα ἀπ' αὐτοῦ, οὕτως ἐοίκασιν οἱ πάνσοφοι Σηθιανοὶ παρ' Ὁμήρου λαβόντες λέγειν·

> Ἴσλω γὰρ (φησί) τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὑπερθεν,
> καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
> ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·

τουτέστιν ἀποτρόπαιόν τι καὶ φρικτὸν οἱ θεοὶ καθ' Ὅμηρον εἶναι τὸ ὕδωρ νομίζουσιν, ὅπερ ὁ λόγος τῶν Σηθιανῶν φοβερὸν εἶναι φησὶ τῷ νοΐ.

21. Ταῦτ' ἐστὶν ἃ λέγουσι καὶ τοιούτοις παραπλήσια ἐν ἀπείροις συγγράμμασι· πείθουσι δὲ ἐντυγχάνειν τῷ περὶ κράσεως καὶ μίξεως λόγῳ τοὺς μαθητευομένους, ὃς μεμελέτηται ἄλλοις τε πολλοῖς καὶ Ἀνδρονίκῳ τῷ περιπατητικῷ. Λέγουσιν οὖν οἱ Σηθιανοὶ τὸν περὶ κράσεως καὶ μίξεως λόγον συνεστάναι τῷδε τῷ τρόπῳ· τὴν ἀκτῖνα τὴν φωτεινὴν ἄνωθεν ἐγκεκρᾶσθαι, καὶ τὸν σπινθῆρα τὸν

« divisa sunt, nec suus cuique deficit honos; » id est, sua cuique trium partium contingit virtus. Jam quod debeat subjacens infra obscura et caliginosa aqua, quum in eam decidit lux, scintillam delatam ad se servare rursusque attollere, videntur isti doctissimi Sethiani hoc ab Homero deprompsisse :

> Hoc scito, tellusque ferax, cœlumque profundum,
> Et Stygio stillans fluvius de gurgite magno
> Qui ligat ante omnes jurantia numina vinclo,

id est, horribilem et fugiendam aquam esse Homerici dii putant, quæ quidem, apud Sethianos, animæ formidanda dicitur.

21. Hæc et alia istius modi in scriptis innumeris dictitant. Suis autem suadent discipulis ut hanc de conflatione et commixtione doctrinam legant, a multis quidem elaboratam, præsertim ab Andronico peripatetico. Hanc vero hoc modo Sethiani explicant : radium lucidum infusum atque immer-

2. ὅτι cod. Mill. Schneid. — 6-8. Hom. *Il.* XV, 36-38. — 10. φοβερὸς cod. — 11. τῷ νοΐ Schneidew.; τὸν οἱ cod. Mill. qui conjicit legendum esse στοιχεῖον. — 14. ὃς Mill.; ὡς cod. — πολλοῖς, ἀλλὰ cod. Mill. Schneid.

ἐλάχιστον ἐν τοῖς σκοτεινοῖς ὕδασι κάτω καταμεμῖχθαι λεπτῶς καὶ συνηνῶσθαι καὶ γεγονέναι ἐν ἑνὶ φυράματι, ὡς μίαν ὀσμὴν ἐκ πολλῶν καταμεμιγμένων ἐπὶ τοῦ πυρὸς θυμιαμάτων, καὶ δεῖ τὸν (146) ἐπιστήμονα, τῆς ὀσφρήσεως ἔχοντα κριτήριον εὐαγές, ἀπὸ τῆς μιᾶς τοῦ θυμιάματος ὀσμῆς διακρίνειν λεπτῶς ἕκαστον τῶν καταμεμιγμένων ἐπὶ τοῦ πυρὸς θυμιαμάτων, οἱονεὶ στύρακα καὶ σμύρναν καὶ λίβανον, ἢ εἴ τι ἄλλο εἴη μεμιγμένον. Χρῶνται καὶ ἑτέροις παραδείγμασι, λέγοντες καταμεμῖχθαι καὶ χρυσίῳ χαλκόν, καὶ τέχνη τις εὕρηται ἡ διακρίνουσα τὸν χαλκὸν ἀπὸ τοῦ χρυσίου. Ὁμοίως δὲ κἂν ἐν ἀργύρῳ κασσίτερος ἢ χαλκὸς ἤ τι τῶν ὁμογενῶν καταμεμιγμένον εὑρεθῇ, μίξεως τινὶ τέχνῃ κρείττονι καὶ ταῦτα διακρίνεται. Ἤδη δέ τις καὶ ὕδωρ μεμιγμένον οἴνῳ διακρίνει. Οὕτω, φασί, κἂν πάντα τὰ συγκεκραμένα διακρίνεται. Καὶ δὴ ἀπὸ τῶν ζῴων, φησί, καταμάνθανε. Τελευτήσαντος γὰρ τοῦ ζῴου ἕκαστα διακρίνεται, καὶ λυθέντος οὕτω τὸ ζῷον ἀφανίζεται. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον· «Οὐκ ἦλθον εἰρήνην βαλεῖν ἐπὶ τὴν γῆν, «ἀλλὰ μάχαιραν,» τουτέστι τὸ διχάσαι καὶ χωρίσαι τὰ συγκεκρα-

sum desuper esse, et scintillam in inferiores aquas obscurasque leviter esse delapsam, et adunatam et commixtam, sicut e multis commixtis in igne suffimentis unus fit odor, et si cui acutum et subtile narium judicium erit, is ab uno suffimenti odore singula quæque igni commixta suffimenta agnoscet, velut storacem et myrrham et libanum aut alia injecta ejusmodi. Aliis etiam exemplis usi, commixtum æs auro dicunt, et ars inventa est qua fit æris ab auro discrimen; jam si mixtum argento cassiterum est aut æs aut aliquid ejusdem generis, discernuntur hæc etiam arte quadam quæ mixturam superat; nonnulli adeo vino mixtam aquam discernunt; sic, inquiunt, possunt mixta omnia discerni. Quod et ab animalibus intelligere potes. Animalis enim mortui partes secernuntur, quo dissoluto evanescit animal, secundum dictum illud, «Non veni pacem mittere in terram, sed gla«dium,» id est ut commixta discernerem ac separarem. Discernuntur et

9. *χαλκός* cod. corr. Mill. — 12. *οἴνῳ διακρίνει* Schneidew.; *αἰνωδία κρήνη* cod. Mill. — 13. *κἂν* Schneid.; *καὶ κἂν* cod. Mill. — 15. Melius scribetur *λυθέν*. — 16-17. Conf. Evang. secund. B. Matth. X, 34 : *Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.*

μένα. Διχάζεται γὰρ καὶ διακρίνεται ἕκαστα τῶν συγκεκραμένων οἰκείου χωρίου τυχόντα. Ὡς γάρ ἐστι χωρίον συγκράσεως τοῖς ζῴοις ἅπασιν ἕν, οὕτω καὶ τῆς διακρίσεως καθέστηκεν ἕν, ὃ οἶδεν οὐδείς, φησίν, ἢ μόνοι ἡμεῖς, οἱ ἀναγεννώμενοι πνευματικοὶ οὐ σαρκικοί, ὧν ἔστι τὸ πολίτευμα ἐν οὐρανοῖς ἄνω. Οὕτω παρεισδύοντες διαφθείρουσι τοὺς ἀκροωμένους, ὁτὲ μὲν ἀποχρώμενοι ῥητοῖς, εἰς ὃ θέλουσι συνάγοντες κακῶς τὰ καλῶς εἰρημένα, φωλεύουσί τε τὸ ἑαυτῶν ἀδίκημα διὰ παραβολῶν ὧν βούλονται. Πάντα οὖν, φησί, καθὼς εἴρηται, τὰ συγκεκραμένα[147] ἔχει χωρίον ἴδιον καὶ τρέχει πρὸς τὰ οἰκεῖα, ὡς σίδηρος πρὸς τὴν Ἡρακλείαν λίθον, καὶ τὸ ἄχυρον ἠλέκτρου πλησίον, καὶ τῷ κέντρῳ τοῦ θαλασσίου ἱέρακος [ἕλκεται] τὸ χρυσίον. Οὕτως ἡ τοῦ καταμεμιγμένου τῷ ὕδατι φωτὸς [ἀκτίς,] οἰκείου χωρίου ἐκ διδασκαλίας καὶ μαθήσεως μεταλαβοῦσα, σπεύδει πρὸς τὸν Λόγον τὸν ἄνωθεν ἐλθόντα ἐν εἰκόνι δουλικῇ, καὶ γίνεται μετὰ τοῦ Λόγου Λόγος ἐκεῖ ὅπου Λόγος ἐστί, μᾶλλον ἢ ὁ σίδηρος πρὸς τὴν Ἡρακλείαν λίθον. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, φησί, καὶ

separantur singula quæque commixta, ubi proprium suum locum obtinent. Sicut enim animalium omnium commixtioni unus est locus, ita quoque unus est dissolutionis locus, quem nemo novit, nisi nos, qui non ex carne, sed ex spiritu renati sumus, qui nostram in altissimo cœlo civitatem habemus. His artibus usi subrepunt isti, et, si quis eis aurem præbuerit, eum perdunt perfida verborum interpretatione, dum quæ bene sunt dicta ad pravum sensum suum detorquent, et flagitia sua comparationibus quibuscumque abscondunt. Suus cuique mixtarum rerum, ut jam dictum est, est locus, et omnes ad propria currunt, tanquam ferrum Herculeo occurrit lapidi, et palea electro, et aculeo marini accipitris aurum. Sic lucidus radius permixtus aquæ, suum e disciplina et scientia istorum adeptus locum, ad Verbum redire properat degressum desuper sub servi specie, Verbumque cum Verbo illic est ubi Verbum est firmius junctum quam ferrum Herculeo la-

1. *συγκεκραμμένα* cod.; *συγκεκραμμένων* cod. — 8. *οὖν* cod.; *ῥοῦν* Mill. — 9. *χωρίον* Schn. — 10. *σίδηρος πρὸς* Mill.; *σίδηρος* cod. — 11. *τῷ κέντρῳ*] supra, *ἡ κερκὶς*, p. 207-8. Schneid. — 11. *ἕλκεται* quod necessarium est supplevi. — 12-13. *ἀκτίς, οἰκείου* Schneidew.; *ἀκτὶς οἰκείου* cod.; *δύναμις οἰκείου* susp. Mill.

πάντα διακρίνεται ἐπὶ τῶν οἰκείων τόπων τὰ συγκεκραμένα, μάνθανε. Φρέαρ ἐστὶν ἐν Πέρσαις ἐν Ἄμπῃ πόλει παρὰ τὸν Τίγριν ποταμόν· ᾠκοδόμηται δὲ παρὰ τὸ φρέαρ ἄνω δεξαμενή τις ἔχουσα τρεῖς ἀφετηρίας ἀπ' αὐτῆς. Οὗ φρέατος ἀντλήσας κάδδῳ ἀνενέγκας τὸ ἀπὸ τοῦ φρέατος ἀντληθὲν ὅ τι ποτέ ἐστιν, ἔχεεν εἰς τὴν παρακειμένην δεξαμενήν· τὸ δὲ χυθὲν ἐλθὸν ἐπὶ τὰς ἀφετηρίας ἐν ἑνὶ σκεύει ἀναληφθὲν διακρίνεται. Καὶ ἐν μὲν πρώτῃ ἅλας πηγνύμενον δείκνυται, ἐν ἑτέρᾳ δὲ τῶν ἀφετηριῶν ἄσφαλτος, ἐν δὲ τῇ τρίτῃ ἔλαιον. Μέλαν δέ ἐστι τὸ ἔλαιον, ὡς, φησί, καὶ Ἡρόδοτος ἱστορεῖ, καὶ ὀσμὴν παρεχόμενον βαρεῖαν· ῥαδινάκην δὲ αὐτὸ οἱ Πέρσαι καλοῦσιν. Ἥρκει, φασὶν οἱ Σηθιανοί, πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἡ τοῦ φρέατος ὁμοιότης πάντων μᾶλλον τῶν προειρημένων.

22. Ἱκανῶς δοκεῖ ἡμῖν σεσαφηνίσθαι ἡ τῶν Σηθιανῶν γνώμη. Εἰ δέ τις ὅλην τὴν κατ' αὐτοὺς πραγματείαν βούλεται μαθεῖν, ἐντυχέτω βιβλίῳ ἐπιγραφομένῳ « Παράφρασις Σήθ· » [148] πάντα γὰρ τὰ ἀπόῤῥητα αὐτῶν ἐκεῖ εὑρήσει ἐγκείμενα. Ἀλλ' ἐπεὶ τὰ κατὰ

pidi. Atque ita hæc se habere, et conflata omnia suis in locis discerni, discito. Apud Persas, in urbe Ampa, propter Tigrim fluvium, puteus est, et juxta puteum ædificatum receptaculum quod tria habet emissaria. Ex quo puteo ubi quis hauserat tuleratque sursum aliquid per cadum, quidquid id esset, fundebat in juxtapositum receptaculum: quod sic infusum, ubi in emissaria venit, vasculo uno receptum discernitur. In primo receptaculo concretum salem videas, in secundo asphaltum, in tertio oleum: nigrum hoc erat, ut etiam ab Herodoto narratur, et graveolens; quod rhadinace nomen apud Persas habet. Hanc solam putei similitudinem, magis quam omnia quæ supra dicta, sufficere contendunt Sethiani ad ipsorum doctrinam demonstrandam.

22. Satis mihi videor Sethianorum placita conspicua fecisse. Si cui totam istorum expositionem ediscere libet, legat librum qui inscriptus est *Paraphrasis Seth*, in quo omnia secreta eorum reperiet perscripta. Sed

1. *συγκεκριμένα* cod. Miller.; *συγκεκραμένα* Schneid. — 2. *Ἄμπῃ* Schneid.; *Ἄμῃ* cod. Mill. Conf. Herod. VI, xx. — 7. *ἐν μὲν πρώτῃ ἅλας* Schneid.; *ἓν μὲν ἅλας* cod. Mill. — 9. *ὅς φησι* cod. Conf. Herod. VI, cxix. — 14. *σεσαφηνεῖσθαι* cod.

τοὺς Σηθιανοὺς ἐξεθέμεθα, ἴδωμεν τίνα ἐστὶ καὶ τὰ Ἰουστίνῳ δοκοῦντα.

δ'. Ἰουστῖνος.

23. Ἰουστῖνος πάντη ἐναντίος τῇ τῶν ἁγίων γραφῶν γενόμενος διδαχῇ, προσέτι δὲ καὶ τῇ τῶν μακαρίων εὐαγγελιστῶν γραφῇ ἢ φωνῇ, ὡς ἐδίδασκεν ὁ Λόγος τοὺς μαθητὰς λέγων· «Εἰς ὁδὸν ἐθνῶν «μὴ ἀπέλθητε,» ὅπερ δηλοῖ μὴ προσέχειν τῇ τῶν ἐθνῶν ματαίᾳ διδασκαλίᾳ, οὗτος ἐπὶ τὰ ἐθνῶν τερατολογούμενα καὶ διδασκόμενα ἀναγαγεῖν πειρᾶται τοὺς ἀκροωμένους, αὐτολεξεὶ τὰ παρ' Ἕλλησι μυθευόμενα διηγούμενος, οὔτε πρότερον διδάξας οὔτε παραδοὺς τὸ τέλειον αὐτοῦ μυστήριον, εἰ μὴ ὅρκῳ δήσῃ τὸν πλανώμενον. Ἔπειτα τοὺς μύθους παρατίθησι ψυχαγωγίας χάριν, ὅπως οἱ ἐντυγχάνοντες τῇ τῶν βίβλων ἀναρίθμῳ φλυαρίᾳ παραμύθιον ἔχωσι τὰ μυθευόμενα (ὃν τρόπον εἴ τις ὁδὸν μακρὰν βαδίζων, παρατυχὼν καταλύματι ἀναπαύεσθαι δοκεῖ), καὶ οὕτως πάλιν ἐπὶ τὴν τῶν ἀναγνωσμάτων

expositis jam Sethianorum opinionibus, videamus et quæ Justino placuerint.

IV. JUSTINUS.

23. Justinus, contra id quod in sacris libris scriptum est, imo et contra beatorum evangelistarum scripta et sermonem quibus Verbum discipulos docebat his verbis, «in viam gentium ne abieritis» (id est ne quis inani gentium disciplinæ attendat aures), iste ad prodigia a gentibus tradita et enarrata discipulos suos reducere conatur Græcorumque fabulosa ad verbum expandit, nec vult alicui tradere perfectum suum mysterium, quin prius eum jurejurando alligaverit deceptum. Deinde fabulas auditoribus enarrat lenocinii causa, ut illi qui libros legunt infinita ineptia oppletos fabularum illecebris detineantur (haud secus ac viator, si longam ire viam coactus in diversorium inciderit quiescendo delectatur), atque ita rursus ad argumen-

Cap. IV, l. 3. De Justino nulla mentio est in ecclesiasticis Annalibus, neque nomen ejus profertur ab ullo auctore. Videtur autem Naassenis annumerandus esse; quos inter peculiarem sectam effinxit, placitis suis et nominibus ex cabbala Judæorum potius depromptis, quam ex Herodoto, ut noster insulse dixit. — 4. εὐαγγελιστῶν ἐγγράφῳ Schneidew.; εὐαγγελίων γραφῇ ἢ cod. Mill. — 5-6. Matth. x, 5. — 13. κατάλυμά τι cod. corr. Mill.

τραπέντες πολυμάθειαν μὴ μισήσωσιν, ἕως ἐπὶ τὸ ὑπ' αὐτοῦ τεχναζόμενον ἀνόμημα διὰ πλειόνων ἐξηχηθέντες ὁρμήσωσι τετυφωμένοι, οὓς φρικτοῖς καταδήσας πρότερον ὅρκοις μήτε ἐξειπεῖν μήτε ἀποσπῆναι ὁμολογεῖν ἀναγκάσας, οὕτω παραδίδωσι τὰ ὑπ' αὐτοῦ ἐφευρημένα μετὰ ἀσεβείας μυσπήρια, πῇ μέν, καθὰ προείπομεν, μύθοις Ἑλληνικοῖς χρησάμενος, πῇ δὲ παραπεποιημένοις βιβλίοις, κατά τι παρεμφαίνουσι ταῖς προειρημέναις αἱρέσεσιν. Οἱ πάντες γὰρ ἑνὶ πνεύματι συνωθούμενοι εἰς ἕνα βυθὸν ἁμάρας συνάγονται, ἄλλοι ἄλλως τὰ αὐτὰ διηγούμενοι καὶ μυθεύοντες· οὗτοι δὲ ἰδίως οἱ πάντες γνωστικοὺς ἑαυτοὺς [149] ἀποκαλοῦσι, [ὡσεὶ] τὴν θαυμασίαν γνῶσιν τοῦ τελείου καὶ ἀγαθοῦ μόνοι καταπεπωκότες.

24. Ὄμνυε δέ, φησὶν Ἰουστῖνος, εἰ γνῶναι θέλεις «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου «ἀνέβη,» τὸν ἐπάνω πάντων ἀγαθόν, τὸν ἀνώτερον, ἄῤῥητα φυλάξαι τὰ τῆς διδασκαλίας σιγώμενα· καὶ γὰρ καὶ ὁ πατὴρ ἡμῶν, ἰδὼν τὸν Ἀγαθὸν καὶ τελεσθεὶς παρ' αὐτῷ, τὰ τῆς σιγῆς ἄῤῥητα

tum conversi ne oderint diffusam doctrinam, donec ipsius delirium, quod sollerter exstruxit, per ambages excantati et demulsi, ultro amplectantur: quos horrendis juramentis obstrinxit prius, coegitque ut nec vulgarent aliquid, nec approbare desinerent; sic mysteria quæ ipse impie excogitavit, tradit, nunc, ut jam diximus, adhibens græcas fabulas, nunc fictitios libros qui aliqua ex parte supra dictas hæreses referunt. Omnes enim isti uno eodemque flatu compulsi in eumdem abyssum sentinæ simul deferuntur; eadem enim docent, et easdem fingunt fabulas alii aliter; et sese omnes proprio nomine gnosticos vocant, quippe qui perfecti et boni miram cognitionem soli imbiberint.

24. Jura, inquit Justinus, si tibi nosse in animo est «quæ oculus non «vidit nec auris audivit, quæque in cor hominis non ascenderunt,» eum dico qui bonus super omnia, qui omnibus superior est, jura te disciplinæ arcana silentio servaturum: nam et pater noster, quum vidisset eum qui Bonus est et apud eum initiatus esset, arcana tacuit, et juravit sicuti scrip-

2-3. τετυπωμένοι cod. corr. Mill. — 10. [ὡσεὶ] restitui quod forsitan confusum cum ultimis ἀποκαλοῦσι litteris exciderat. — 11. καταπεπλωκότες cod. corr. Mill. — 12. Hæc et sqq. e suo loco videntur transmutata. — 12-13. B. Pauli ad Cor. I, II, 9. — 14. Ἀγαθὸν Schneid.; ἀγαθῶν cod. Mill.

ἐφύλαξε, καὶ ὤμοσε καθὼς γέγραπται, « ὤμοσε Κύριος καὶ οὐ μετα-
« μεληθήσεται. » Ταῦτα τοίνυν οὕτω κατασφραγισάμενος πλείοσι μύ-
θοις ψυχαγωγεῖ διὰ πλειόνων (βιβλίων), καὶ οὕτως ἐπὶ τὸν Ἀγαθὸν
ἄγει, τελειῶν τοὺς μύστας τὰ ἄλαλα μυστήρια. Ἵνα δὲ μὴ διὰ πλειό-
νων ὀδεύσωμεν, ἐκ μιᾶς αὐτοῦ βίβλου τὰ ἄρρητα ἐπιδείξομεν, οὕσης
καθὼς νομίζει ἐνδόξου. Αὕτη δὲ ἐπιγράφεται Βαρούχ· ἐν ᾗ μίαν τῶν
πολλῶν μυθολογίαν ἐκτιθεμένην ὑπ' αὐτοῦ δηλώσομεν, οὖσαν παρὰ
Ἡροδότῳ, ἣν ὡς καινὴν τοῖς ἀκροαταῖς παραπλάσας διηγεῖται, ἐξ
αὐτῆς πᾶσαν σύστασιν τοῦ κατ' αὐτὸν διδασκαλείου ποιούμενος.

25. Ἡρόδοτος μὲν οὖν τὸν Ἡρακλέα φησὶν ἀπὸ τῆς Ἐρυθείας
τοῦ Γηρυόνου τὰς βοῦς ἄγοντα εἰς τὴν Σκυθίαν ἐλθεῖν, κεκμηκότα
δὲ ἀπὸ τῆς πορείας εἰς ἔρημόν τι χωρίον κατακλιθέντα κοιμηθῆναι
ὀλίγον· ὑπνώσαντος δὲ αὐτοῦ ἀφανῆ γενέσθαι τὸν ἵππον, ἐφ' οὗ
καθεζόμενος διώδευσε τὴν μακρὰν ὁδόν· περιεγερθεὶς δὲ ζήτησιν
ἐποιεῖτο ἐπὶ τῆς ἐρημίας πολλήν, εὑρεῖν πειρώμενος τὸν ἵππον.
Καὶ τοῦ μὲν ἵππου διαμαρτάνει, κόρην δέ τινα μιξοπάρθενον εὐ-

tum est : «Juravit Dominus, et non pœnitebit eum.» His igitur ita obsignatis, fabulis compluribus plures per libros allicit legentes et sic eos ducit ad eum qui Bonus est initiatque secretis mysteriis mystas. Sed, ne per plura vagemur, secreta ostendamus ex uno istius libro, quem quidem ipse existimat celebrem. Cui titulus Baruch, ex quo unam e multis quas enarrat iste eligamus fabulam, jam ab Herodoto antea narratam, quam tamen inde expressam velut novam legentibus affert, totum doctrinæ suæ ordinem ex ea provenire arbitratus.

25. Refert igitur Herodotus Herculem, quum ex Erythea Geryoni boves educeret, in Scythiam devenisse, ibique, itinere defatigatum, in deserto quodam loco quievisse paululum; dormiente autem eo, equum evanuisse quo vectus longam confecerat viam; experrectum deinde, undique lustravisse desertum si forte equum suum inveniret. Nec reperit equum, sed puel-

1-2. Ps. CIX, 4. — 3. (βιβλίων) abundare videtur et e sequente βίβλου natum. — τὸν Ἀγαθὸν Mill.; τῶν ἀγαθῶν cod. — 4. ἄλαλα Schneidew.; ἄλλα cod.; τ' ἄλλα conj. Mill. — δὲ Mill.; καὶ cod. — 8. καινὴν Schneid.; ξένην cod. Mill. — 9. διδασκαλίου cod. — 10. Ἐρυθρᾶς cod. Mill.; Ἐρυθείας Schneid. — 10 sqq. Cf. Herod. IV, VIII-X. — 16. τοῦ μὲν Schneid.; τῆς μὲν cod. Mill.

ρων ἐπὶ τῆς ἐρημίας ἐπηρώτα, εἰ εἴη [150] που τεθεαμένη τὸν ἵππον. Ἡ δὲ κόρη φησὶν εἰδέναι μέν, μη δείξειν δὲ πρότερον αὐτῷ, εἰ μὴ πρὸς μῖξιν φιλίας συνέλθῃ αὐτῇ ὁ Ἡρακλῆς. Ἦν δέ, φησὶν ὁ Ἡρόδοτος, τὰ ἄνω αὐτῆς μέχρι βουβῶνος παρθένου, πᾶν δὲ τὸ κάτω σῶμα μετὰ βουβῶνα φρικτόν τι θέαμα ἐχίδνης. Σπουδῇ δὲ τῆς περὶ τὸν ἵππον εὑρέσεως ὁ Ἡρακλῆς πείθεται τῷ θηρίῳ· ἔγνω γὰρ αὐτὴν καὶ ἐποίησεν ἐγκύμονα, καὶ προεῖπεν αὐτῇ μετὰ τὴν γνῶσιν, ὅτι ἔχει κατὰ γαστρὸς ἐξ αὐτοῦ τρεῖς ὁμοῦ παῖδας, οἵτινες ἔσονται ἐπιφανεῖς. Ἐκέλευσε δὲ αὐτοῖς γεννωμένοις ὀνόματα θεῖναι τὴν τεκοῦσαν, Ἀγάθυρσον, Γελωνὸν καὶ Σκύθην. Λαβὼν δὲ τούτου μισθὸν τὸν ἵππον παρὰ τῆς θηριώδους κόρης, ἀπηλλάττετο φέρων καὶ τὰς βοῦς. Μακρὸς δὲ ὁ μετὰ ταῦτα μῦθος Ἡροδότῳ, χαιρέτω δὲ τὸ νῦν. Τίνα δὲ τὰ Ἰουστίνῳ δοκοῦντα, μετάγοντι τὸν μῦθον εἰς τὴν τῶν ὅλων γέννησιν, ἡμεῖς διηγησόμεθα.

26. Οὗτος φησίν· Ἦσαν τρεῖς ἀρχαὶ τῶν ὅλων ἀγέννητοι, ἀῤῥενικαὶ δύο, θηλυκὴ μία. Τῶν δὲ ἀῤῥενικῶν ἡ μέν τις καλεῖται

lam in deserto vidit semivirginem, a qua percontatus est an forte equum viderit: respondit hæc se vidisse quidem, sed non prius monstraturam ei, quam secum in conjugium congressus esset Hercules. Erat autem, ait Herodotus, quoad superiora corporis, pube tenus virgo, quoad inferiora vipera quædam adspectu horribilis. Quum autem equum reperire valde cuperet Hercules, belluæ obtemperavit: cognovit eam, et gravidam fecit, et dixit ei, postquam eam cognoverat, conceptos ex se esse in ventre ejus tres una filios, aliquando celebres futuros: his a matre jussit dari nomina, ubi nati forent, Agathyrsum, Gelonum, et Scytham. Nactus hujus facinoris mercedem, equum scilicet, a puella bestiali, etiam cum bobus abiit. Longa post hæc apud Herodotum fabula producitur, sed abeat in præsens quo libuerit. Quænam autem Justinus hinc sibi placita finxerit hanc fabulam de generatione universorum interpretatus, jam exponemus.

26. Hic igitur enarrat: Fuere universorum tria principia ingenerata, mascula duo, unum femineum. Masculorum alterum vocatur Bonus, neque

11. ἀπηλάττετο cod. — 13. τὸ νῦν Mill.; τὸν νοῦν cod. – μετάγοντα cod. — 15 sqq. Conf. infra, l. X, § 15. — 16. εἰ cod.; ἡ Mill.

Ἀγαθός, αὐτὸ μόνον οὕτως λεγόμενος, προγνωστικὸς τῶν ὅλων. Ἡ δὲ ἑτέρα πατὴρ πάντων τῶν γεννητῶν, ἀπρόγνωστος [καὶ ἄγνωστος] καὶ ἀόρατος. Ἡ δὲ θήλεια ἀπρόγνωστος, ὀργίλη, δίγνωμος, δίσωμος, κατὰ πάντα τῇ κατὰ τὸν Ἡροδότου μῦθον ἐμφερής, μέχρι βουβῶνος παρθένος, ἔχιδνα δὲ τὰ κάτω, ὡς φησιν Ἰουστῖνος. Καλεῖται δὲ Ἐδὲμ αὕτη ἡ κόρη καὶ Ἰσραήλ. Αὗται, φησίν, αἱ ἀρχαὶ τῶν ὅλων, ῥίζαι καὶ πηγαί, ἀφ' ὧν τὰ πάντα ἐγένετο· ἄλλο δὲ ἦν οὐδέν. Ἰδὼν οὖν ὁ πατὴρ τὴν μιξοπάρθενον ἐκείνην ἀπρόγνωστος ὢν τὴν Ἐδὲμ, ἦλθεν εἰς ἐπιθυμίαν αὐτῆς· Ἐλωεὶμ δέ, φησίν, καλεῖται οὗτος [151] ὁ πατήρ· οὐδὲν δ' ἧττον ἐπεθύμησε καὶ ἡ Ἐδὲμ τοῦ Ἐλωείμ, καὶ συνήγαγεν αὐτοὺς ἡ ἐπιθυμία εἰς μίαν φιλίας εὔνοιαν. Γεννᾷ δὲ ἀπὸ τῆς συνόδου τῆς τοιαύτης ὁ πατὴρ ἐκ τῆς Ἐδὲμ ἑαυτῷ ἀγγέλους δώδεκα. Ὀνόματα δέ ἐστι τῶν πατρικῶν ἀγγέλων τάδε· Μιχαήλ, Ἀμήν, Βαρούχ, Γαβριήλ, Ἡσαδδαῖος..... Καὶ τῶν μητρικῶν ἀγγέλων, ὧν ἐποίησεν ἡ Ἐδέμ, ὁμοίως ὑποτέτακται τὰ ὀνόματα· ἔστι δὲ ταῦτα, Βάβελ, Ἀχαμῶθ, Νάας, Βήλ, Βελίας,

aliud quidquam habet hoc nomen, et præscit universa. Alterum genitorum omnium pater, qui nec præscit nec scit nec videt. Femineum autem improvidum, iracundum, bimens, bicorpor. Herodoteæ belluæ persimile, pube tenus virgo, vipera subter, ut ait Justinus. Nomina huic puellæ sunt Edem et Israel. Talia principia sunt universorum, radices et fontes, e quibus omnia genita sunt; neque aliud quidquam fuit. Improvidus igitur pater cui nomen datur Elohim, semivirginem Edem quum adspexisset, concupivit eam; concupivit etiam illum virgo Edem, et pari cupidine ambo in unum commercium amoris convenerunt. Gignit ex tali coitu pater ex Edem duodecim sibi angelos: paternis angelis hæc sunt nomina: Michael, Amen, Baruch, Gabriel, Esaddæus..... Et maternis angelis, quos tulit Edem, pariter ab illo subjecta sunt nomina: Babel, Achamoth, Naas, Bel, Belias, Satan,

2. πατὴρ Schneid.; μήτηρ cod. Mill. Cf. infra, lib. X, § 15. — 2-3. [καὶ ἄγνωστος.] Conf. lib. X, § 15. — 3. Θήλεια. Cf. lib. X, § 15; Θῆλυς cod. Millerus. — δίγνωμος. Conf. lib. X, § 15; ἀγνώμων cod. Millerus. — 4. πάντα. Conf. lib. X, § 15; ὄντα cod. Mill. — 10. δ' add. Mill. — 11-12. εὔνοιαν cod. Mill. Schn.; εὐνὴν R. Scottus. — 16. Βαβελαχαμῶς cod.; Βάβελ, Ἀχαμῶς Mill.

Σατάν, Σαήλ, Ἀδωναῖος, Καυΐθαν, Φαραώ, Καρκαμενώς, Λάθεν. Τούτων τῶν εἰκοσιτεσσάρων ἀγγέλων οἱ μὲν πατρικοὶ τῷ πατρὶ συναίρονται καὶ πάντα ποιοῦσι κατὰ τὸ θέλημα αὐτοῦ· οἱ δὲ μητρικοὶ τῇ μητρὶ Ἐδέμ· τούτων δὲ τῶν ἀγγέλων ὁμοῦ πάντων τὸ πλῆθος ὁ παράδεισος, φησίν, ἐστί, περὶ οὗ λέγει Μωσῆς· « Ἐφύ- « τευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, » τουτέστι κατὰ πρόσωπον τῆς Ἐδέμ, ἵνα βλέπῃ τὸν παράδεισον ἡ Ἐδέμ, τουτέστι τοὺς ἀγγέλους, διὰ παντός. Τούτου τοῦ παραδείσου ἀλληγορικῶς οἱ ἄγγελοι κέκληνται ξύλα, καὶ ἔστι τὸ ξύλον τῆς ζωῆς ὁ τρίτος τῶν πατρικῶν ἀγγέλων Βαρούχ, τὸ δὲ ξύλον τοῦ εἰδέναι γνῶσιν καλοῦ καὶ πονηροῦ ὁ τρίτος τῶν μητρικῶν ἀγγέλων, ὁ Νάας. Οὕτως γὰρ λέγει δεῖν τὰ Μωσέως ἑρμηνεύειν, λέγων· περιεσταλμένως αὐτὰ εἶπεν ὁ Μωϋσῆς διὰ τὸ μὴ πάντας χωρεῖν τὴν ἀλήθειαν. Γενομένου δέ, φησί, τοῦ παραδείσου ἐξ εὐαρεστήσεως κοινῆς Ἐλωεὶμ καὶ Ἐδέμ, οἱ τοῦ Ἐλωεὶμ ἄγγελοι λαβόντες ἀπὸ τῆς καλλίστης γῆς, τουτέστιν οὐκ ἀπὸ τοῦ θηριώδους μέρους τῆς Ἐδέμ, ἀλλὰ ἀπὸ τῶν ὑπὲρ βουβῶνα ἀνθρωποειδῶν καὶ ἡμέρων χωρίων [152] τῆς γῆς ποιοῦσι τὸν ἄνθρωπον. Ἐκ δὲ τῶν θηριωδῶν μερῶν, φησί, γίνονται τὰ θηρία

Sael, Adonæus, Cavithan, Pharao, Carcamenos, Lathen. E quibus viginti quatuor angelis paterni quidem patris comites sunt, et omnia quæcunque vult facessunt. Materni autem Edem matrem comitantur; quorum omnium angelorum multitudo paradisus vocatur, de quo Moses ait : « Plantavit Deus « paradisum in Edem Orientem versus, » id est versus faciem Edem, ut Edem paradisum, seu angelos, semper videat. Angeli allegorice vocantur hujus paradisi arbores; arbor vitæ est tertius paternorum angelorum Baruch; arbor scientiæ boni et mali tertius maternorum angelorum Naas. Sic interpretanda esse contendit quæ dixit Moses, quippe qui circumloquendo hæc dixerit, quia verum non intelligunt omnes. Quum autem ex communi Elohim et Edem amicitia paradisus factus est, angeli Elohim, desumentes e pulcherrima terra, hoc est non e bestiali, sed ex humana illa supra inguina Edem et cicuri parte, hominem fingunt. At e parte bestiali fieri dicit bestias

1. Καυΐθαν] Λευϊαθάν Schneid. – Φαραώθ cod. Mill. — 3. συναιροῦνται cod. — 5-6. *Gen.* II, 8. — 11. Οὕτος cod. Mill.; οὕτως Schneid. — 12. λέγει δεῖν Schneidew.; λέγεται cod. Mill. – περιεσταλμένος cod.

καὶ τὰ λοιπὰ ζῷα. Τὸν ἄνθρωπον οὖν ἐποίησαν σύμβολον τῆς ἑνότητος αὐτῶν καὶ εὐνοίας, καὶ κατατίθενται τὰς ἑαυτῶν δυνάμεις εἰς αὐτόν, Ἐδὲμ μὲν τὴν ψυχήν, Ἐλωεὶμ δὲ τὸ πνεῦμα. Καὶ γίνεται οἱονεὶ σφραγίς τις αὕτη καὶ φιλίας ὑπόμνημα καὶ σύμβολον αἰώνιον τοῦ γάμου τῆς Ἐδὲμ καὶ τοῦ Ἐλωεὶμ ἄνθρωπος, ὁ Ἀδάμ. Ὁμοίως δὲ καὶ ἡ Εὔα γέγονε, φησίν, ὥσπερ Μωσεῖ γέγραπται, εἰκὼν καὶ σύμβολον, σφραγὶς εἰς αἰῶνα φυλαχθησομένη τῆς Ἐδέμ· κατετέθη τε ὁμοίως καὶ ἐν τῇ Εὔᾳ τῇ εἰκόνι ψυχὴ μὲν ἀπὸ τῆς Ἐδέμ, πνεῦμα δὲ ἀπὸ τοῦ Ἐλωείμ. Καὶ ἐδόθησαν ἐντολαὶ αὐτοῖς· « Αὐξάνεσθε καὶ « πληθύνεσθε καὶ κατακληρονομήσατε τὴν γῆν, » τουτέστι τὴν Ἐδέμ, οὕτω γὰρ θέλει γεγράφθαι. Πᾶσαν γὰρ τὴν ἑαυτῆς δύναμιν οἱονεί τινα οὐσίαν ἐν γάμῳ ἡ Ἐδὲμ προσήνεγκε τῷ Ἐλωείμ. Ὅθεν, φησί, κατὰ μίμησιν ἐκείνου τοῦ πρώτου γάμου προῖκα προσφέρουσι μέχρι σήμερον αἱ γυναῖκες τοῖς ἀνδράσι, θείῳ τινὶ καὶ πατρικῷ νόμῳ πειθόμεναι τῷ γενομένῳ πρὸς Ἐλωεὶμ τῆς Ἐδέμ. Κτισθέντων δὲ πάντων, ὡς γέγραπται παρὰ τῷ Μωϋσῇ, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν αὐτῇ, εἰς τέτταρας ἀρχὰς διηρέθησαν οἱ δώδεκα τῆς μη-

et animalia cætera. Finxerunt igitur hominem tanquam concordiæ et amicitiæ suæ signum, et donaverunt eum virtute quisque sua, Edem anima, Elohim spiritu. Atque ita existit ut quoddam sigillum et amoris monumentum et nuptiarum Edem et Elohim signum æternum homo qui est Adam. Similiter et Eva facta est, ut apud Mosem legitur, tanquam imago et signum, et æterno tempore duraturum sigillum illius Edem : similiter et deposita est in Eva, imagine (illius viri) ab Edem anima, spiritus ab Elohim. Et mandata data eis : « Crescite et multiplicamini, et sortimini ter- « ram, » id est Edem ; sic enim scriptum esse vult. Nam Edem virtutem omnem suam, ut aliquam nuptialem dotem, Elohim attulit. Unde, primas illas nuptias imitatæ, mulieres adhuc etiam dotem afferunt viris, divinæ et paternæ obsequentes legi quam sanxerunt Edem et Elohim. Postquam autem, ut scriptum est apud Mosem, cœlum et terra et omnia terrena creata fuerunt, divisi sunt in quatuor principia duodecim angeli matris

1. ἐποίησε cod. Mill. — 3. αὐτόν Mill. ; ἑαυτόν cod. — 7. φυλαχθησόμενος cod. corr. Mill. — 9-10. *Gen.* 1, 28. — 14. θείῳ τινὶ bis in cod. — 17. αὐτῇ R. Scottus ; ἀρχῇ cod. Mill.

τρὸς ἄγγελοι, καὶ καλεῖται τούτων ἕκασλον τεταρτημόριον ϖοταμός, Φεισὼν καὶ Γεὼν καὶ Τίγρις καὶ Εὐφράτης, ὡς, φησί, λέγει Μωϋσῆς· οὗτοι ἐμπεριέρχονται οἱ δώδεκα ἄγγελοι εἰς τέτλαρα μέρη συμπεριπεπλεγμένοι καὶ διέπουσι τὸν κόσμον, σατραπικήν τινα ἔχοντες κατὰ τοῦ κόσμου ϖαρὰ τῆς Ἐδὲμ ἐξουσίαν. Μένουσι δὲ οὐκ ἀεὶ ἐπὶ τῶν τόπων τῶν αὐτῶν, ἀλλ' οἱονεὶ ἐν χορῷ κυκλικῷ ἐμπεριέρχονται [153], ἀλλάσσοντες τόπον ἐκ τόπου καὶ ϖαραχωροῦντες ἐν χρόνοις καὶ διασλήμασι τοὺς τόπους [τοὺς] τεταγμένους ἑαυτοῖς. Ὅταν δὲ ἐπικρατῇ τῶν τόπων ὁ Φεισών, λιμός, σλενοχωρία, Θλῖψις ἐν ἐκείνῳ τῷ μέρει τῆς γῆς γίνεται· φειδωλὸν γὰρ τὸ ϖαράταγμα τῶν ἀγγέλων τούτων· ὁμοίως καὶ ἑκάσλου μέρους τῶν τεσσάρων, κατὰ τὴν ἑκάσλου δύναμιν καὶ φύσιν, κακοὶ καιροὶ καὶ νόσων σλάσεις. Καὶ τοῦτο εἰσαεὶ κατὰ τὴν ἐπικράτησιν τῶν τεταρτημορίων ὡσπερεὶ ϖοταμῶν ῥεῦμα κακίας κατὰ Θέλησιν τῆς Ἐδὲμ ἀδιαλείπλως τὸν κόσμον ϖεριέρχεται. Γέγονε δὲ ἡ τῆς κακίας ἀνάγκη ἐκ τοιαύτης τινὸς αἰτίας· κατασκευάσας καὶ δημιουργήσας Ἐλωεὶμ ἐκ κοινῆς

et nominatur unaquæque quarta pars fluvius, Phison et Geon et Tigris et Euphrates, ut Moses eos vocat; duodecim hi angeli circuitibus suis quatuor partes amplectuntur reguntque mundum, in eum potestatem ab Edem acceptam fere satrapicam tenentes. Non semper eumdem locum occupant, sed tanquam in choro circulari circumvagantur, mutantes ex loco locum et certis temporum intervallis sibi invicem assignata imperia cedentes. Ubi autem locis imperat Phison, fames, et angustiæ, et miseriæ in illa terræ parte oriuntur, nam parca et avara est horum angelorum cohors; pariter quatuor unicuique partium, pro vi et natura angelorum, mala tempora morbidi status afferuntur. Nec unquam hoc cessat, prout imperat una ex quatuor partibus, tanquam flumen malitiæ, ex voluntate Edem, orbem terrarum percurrere. Hæc autem causa est cur necessario malitia in mundo sit : quum paravisset et constituisset ex amicitia communi mundum Elohim,

3. *ἐμπεριέχονται* cod. Mill.; *ἐμπεριέρχονται* Schneid. — 4. *ἀσλραπικήν* cod. corr. Miller. — 6-7. *ἐμπεριέχονται* cod. Mill. — 8. *τεταγμένων* cod. corr. Miller.; [*τοὺς*] addidi. — 10. *ϖαράταγμα* vocabul. novum et hic forsan dubium. — 13. *ἐπικράτησιν* Mill.; *ἐπίκρασιν* cod. — *ὡσπερεὶ* Schneid.; *ὡς ϖερὶ* cod.; *ὥσπερ* Mill.

εὐαρεσ[ή]σεως τὸν κόσμον, ἀναβῆναι ἠθέλησεν εἰς τὰ ὑψηλὰ μέρη τοῦ οὐρανοῦ καὶ θεάσασθαι, μή τι γέγονε τῶν κατὰ τὴν κτίσιν ἐνδεῶς, συμπαραλαβὼν τοὺς ἰδίους ἀγγέλους μετ' αὐτοῦ, ἦν γὰρ ἀνωφερής, καταλιπὼν τὴν Ἐδὲμ κάτω, γῆ γὰρ οὖσα ἐπακολουθεῖν ἄνω τῷ συζύγῳ οὐκ ἠθέλησεν. Ἐλθὼν οὖν ὁ Ἐλωεὶμ ἐπὶ τὸ πέρας ἄνω τοῦ οὐρανοῦ, καὶ θεασάμενος φῶς κρεῖττον ὑπὲρ ὃ αὐτὸς ἐδημιούργησεν, εἶπεν· « Ἀνοίξατέ μοι πύλας, ἵνα εἰσελθὼν ἐξομολογή-« σωμαι τῷ Κυρίῳ· ἐδόκουν γὰρ ἐγὼ Κύριος εἶναι. » Φωνὴ [δ'] αὐτῷ ἀπὸ τοῦ φωτὸς ἐδόθη λέγουσα· « Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι « εἰσέρχονται δι' αὐτῆς· » καὶ ἀνεῴχθη παραχρῆμα ἡ πύλη, καὶ εἰσῆλθεν ὁ πατὴρ δίχα τῶν ἀγγέλων πρὸς τὸν Ἀγαθὸν καὶ εἶδεν « ἃ « ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου « οὐκ ἀνέβη. » Τότε λέγει αὐτῷ ὁ Ἀγαθός· « Κάθου ἐκ δεξιῶν μου. » Ὁ δὲ πατὴρ λέγει πρὸς τὸν Ἀγαθόν· « Ἔασόν με, Κύριε, κατασ[τ]ρέψαι τὸν κόσμον, ὃν (154) πεποίηκα· τὸ πνεῦμα γάρ μου ἐνδέδεται εἰς τοὺς « ἀνθρώπους, καὶ θέλω αὐτὸ ἀπολαβεῖν. » Τότε λέγει αὐτῷ ὁ Ἀγαθός· « Οὐδὲν δύνασαι κακοποιῆσαι παρ' ἐμοὶ γενόμενος, ἐκ κοινῆς

voluit rursus ascendere in excelsa cœli unde intueretur an opus suum aliqua parte deficeret, assumptisque angelis suis secum, sursum quo tendebat ferebatur; at infra relicta est Edem; nam, quum terra esset, ascendere cum conjuge noluit. Postquam igitur Elohim in altissimam cœli regionem pervenit, viditque lucem superiorem ea luce quam ipse fabricaverat: « Aperite « mihi portas, inquit, ut ingressus confitear Dominum; ipse enim arbitrabar « esse Dominus. » Et respondit ei vox a luce, « Hæc est porta Domini, justi « ingredientur per eam; » et extemplo porta patuit, et pater sine angelis intravit ad Bonum, et vidit « quæ oculus non vidit nec auris audivit, quæque « in cor hominis non ascenderunt. » Tum ei Bonus: « Sede, ait, ad dextram « meam. » Pater autem ad Bonum ait: « Sine, Domine, pervertam mundum, quem feci; nam spiritus meus illigatus est in homines, et volo eum « recipere. » Tum ei Bonus: « Nihil potes facere mali dum apud me es:

4. Ἐδὲμ κάτω, γῆ Schn.; Ἐδέμ, κατώγη cod.; Ἐδέμ, κατωφερὴς Mill. — οὖσαν cod. corr. Mill. — 7 sqq. Cf. Ps. CXVII, 19, 20. — 12-13. B. Pauli *Ep. I ad Cor.* II, 9. — 13. Ps. CIX, 1. — 15. τὸν κόσμον cod.; ἐς τὸν κόσμον conj. Mill. — 16. ἀνθρώπους legendum esse recte censuit Bern. p. 20; οὐρανούς, quod habent cod. Millerus, natum e τοὺς ἄνους pro ἀνθρώπους vulgari compendio.

« γὰρ εὐαρεσ[ήσεως ἐποιήσατε τὸν κόσμον σύ τε καὶ ἡ Ἐδέμ. Ἔασον
« οὖν τὴν Ἐδὲμ ἔχειν τὴν κτίσιν μέχρις οὗ βούλεται · σὺ δὲ μένε
« παρ' ἐμοί. » Τότε γνοῦσα ἡ Ἐδὲμ ὅτι καταλέλειπ[αι ὑπὸ τοῦ Ἐλωείμ,
λυπηθεῖσα παρέσ[ησεν αὐτῇ τοὺς ἰδίους ἀγγέλους καὶ εὐπρεπῶς ἐκό-
σμησεν ἑαυτήν, εἴ πως εἰς ἐπιθυμίαν ἐλθὼν ὁ Ἐλωεὶμ κατέλθῃ πρὸς
αὐτήν. Ὡς δὲ κρατηθεὶς τῷ Ἀγαθῷ ὁ Ἐλωεὶμ οὐκέτι κατῆλθε πρὸς
τὴν Ἐδέμ, προσέταξεν ἡ Ἐδὲμ τῇ Βάβελ, ἥτις ἐσ[ὶν Ἀφροδίτη,
μοιχείας καὶ χωρισμοὺς γάμων κατασκευάσαι ἐν ἀνθρώποις, ἵνα ὡς
αὐτὴ κεχώρισ[αι ἀπὸ τοῦ Ἐλωείμ, οὕτω καὶ τὸ [πνεῦμα] τοῦ Ἐλωεὶμ
τὸ ὂν ἐν τοῖς ἀνθρώποις τοῖς χωρισμοῖς τοῖς τοιούτοις βασανίζηται
λυπούμενον, καὶ πάσχῃ τὰ αὐτὰ ὁποῖα καὶ ἡ Ἐδὲμ καταλελειμμένη.
Καὶ δίδωσιν ἐξουσίαν ἡ Ἐδὲμ μεγάλην τῷ τρίτῳ ἀγγέλῳ αὐτῆς τῷ
Νάας, ἵνα πάσαις κολάσεσι κολάζῃ τὸ πνεῦμα τοῦ Ἐλωεὶμ τὸ ὂν
ἐν τοῖς ἀνθρώποις, ἵνα διὰ τοῦ πνεύματος ᾖ κολαζόμενος ὁ Ἐλωεὶμ
ὁ καταλιπὼν παρὰ τὰς συνθήκας τὰς γενομένας αὐτῶν τὴν σύζυγον.
Ἰδὼν ταῦτα ὁ πατὴρ Ἐλωεὶμ ἐκπέμπει τὸν Βαρούχ, τὸν τρίτον
ἄγγελον τῶν ἑαυτοῦ, εἰς βοήθειαν τῷ πνεύματι τῷ ὄντι ἐν τοῖς

« nam ex communi amicitia fecistis mundum tu et Edem; sine igitur Edem « creationem habeat quamdiu volet : tu vero apud me remane. » Tum ubi Edem se ab Elohim derelictam cognovit, confecta mœrore, arcessitis angelis suis, se decenter ornavit, si forte cupidine captus rursus Elohim ad ipsam descenderet. Sed, a Bono retentus Elohim, non amplius descendit ad Edem; quæ tum Babel, seu Veneri, mandavit ut adulteria inter homines misceret et sejungeret conjunctos matrimonio : ut, quemadmodum ipsa sejuncta ab Elohim erat, sic iisdem divortiis Elohim spiritus, qui est in hominibus, plecteretur et doleret, eademque sentiret mala quæ derelicta Edem. Et magnam potestatem dat Edem tertio suo angelo Naas, ut is Elohim spiritum, qui est in hominibus, omni pœna puniret, quo per spiritum puniretur Elohim iste qui, rupto mutuo fœdere, uxorem dereliquerat. Quo cognito pater Elohim, emittit Baruch, tertium suum angelum, ut spiritui qui in

2. *μέχρις οὗ* Schneidew.; *μέχρι* cod. Mill. — 6. *καὶ οὐκέτι* cod. corr. Mill. — 9. [*πνεῦμα*] supplevit Schneid. ex l. 13 infra. — 15. *αὐτῶν* Schn.; *αὐτῷ* cod. Mill.

ἀνθρώποις. Πάλιν ἐλθὼν οὖν ὁ Βαρουχ ἔστη ἐν μέσῳ τῶν ἀγγέλων τῆς Ἐδέμ, τουτέστιν ἐν μέσῳ τοῦ παραδείσου (παράδεισος γὰρ οἱ ἄγγελοι, ὧν μέσος ἔστη), καὶ παρήγγειλε τῷ ἀνθρώπῳ, «Ἀπὸ «παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖν, ἀπὸ δὲ τοῦ «[ξύλου τοῦ] γινώσκειν τὸ καλὸν καὶ τὸ πονηρὸν [155] μὴ φαγεῖν,» ὅπερ ἐστὶν ὁ Νάας, τουτέστι τοῖς μὲν ἄλλοις ἀγγέλοις πείθεσθαι τοῖς ἔνδεκα τῆς Ἐδέμ, πάθη μὲν γὰρ ἔχουσιν οἱ ἔνδεκα, παρανομίαν δὲ οὐκ ἔχουσιν· ὁ δὲ Νάας παρανομίαν ἔσχε· προσῆλθε γὰρ τῇ Εὔᾳ ἐξαπατήσας αὐτὴν καὶ ἐμοίχευσεν αὐτήν, ὅπερ ἐστὶ παράνομον· προσῆλθε δὲ καὶ τῷ Ἀδὰμ καὶ ἔσχεν αὐτὸν ὡς παῖδα, ὅπερ ἐστὶ καὶ αὐτὸ παράνομον· ἔνθεν γέγονε μοιχεία καὶ ἀρσενοκοιτία. Ἀπὸ τότε ἐπεκράτησε τὰ κακὰ τοῖς ἀνθρώποις καὶ τὰ ἀγαθὰ ἐκ μιᾶς ἀρχῆς γενόμενα τῆς τοῦ πατρός. Ἀναβὰς γὰρ πρὸς τὸν Ἀγαθὸν ὁ πατὴρ ὁδὸν ἔδειξε τοῖς ἀναβαίνειν θέλουσιν· ἀποσὰς δὲ τῆς Ἐδὲμ ἀρχὴν κακῶν ἐποίησε τῷ πνεύματι τοῦ πατρὸς τῷ ἐν τοῖς ἀνθρώποις.

hominibus erat opem ferret. Redux igitur Baruch, in mediis angelis Edem stetit, id est in medio paradiso (paradisus enim angeli sunt, inter quos stetit medius), et præceptum homini dedit, dicens, «Ab omni ligno quod est in «paradiso comedendo vesceris; a ligno autem cognitionis boni et mali, noli «vesci,» quod lignum Naas est, hæc significans: undecim aliis Edem angelis obtemperare licet, qui cuncti cupiditates quasdam habent, at non injusti sunt; Naas vero fuit injustus qui accessit ad Evam, et decepit eam et adulterium cum ea patravit, quod injustum est; accessit etiam ad Adam, et eum ut pusionem habuit, quod non minus injustum est; unde coorta sunt adulteria et masculorum concubitus. Exinde dominata sunt apud homines et bona et mala ex eodem fonte, patris dico, orta. Nam, dum ad Bonum pater ascendit, ascendere volentibus monstravit viam; dum autem ab Edem discessit, fecit spiritui patris qui in hominibus est, malorum principium.

1. ἀνθρώποις. Πάλιν ἐλθὼν Schneid.; ἀνθρώποις πᾶσιν. Ἐλθὼν cod. Miller. — 4-5. *Gen.* II, 17-29 : ξύλου τοῦ supplevit Schn. — 10. παῖδα] an παιδικά? — 15. τῷ πνεύματι τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς cod.; τῷ πνεύματι τ. πατρ. τοῦ ἐν τοῖς ἀνθρώποις susp. Mill.; τῷ πνεύματι τοῦ πατρ. τῷ ἐν τοῖς ἀνθρώποις Bern.; τῷ πνεύματι τῷ ἐν τοῖς ἀνθρώποις Schn. De οὐρανοῖς et ἀνθρώποις confusis vide supra.

Ἐπέμφθη οὖν ὁ Βαρουχ πρὸς τὸν Μωσέα, καὶ δι' αὐτοῦ ἐλάλησε τοῖς υἱοῖς Ἰσραήλ, ὅπως ἐπιστραφῶσι πρὸς τὸν Ἀγαθόν. Ὁ δὲ τρίτος ὁ [Νάας] διὰ τῆς ψυχῆς [τῆς] ἀπὸ τῆς Ἐδὲμ ἠκούσης εἰς τὸν Μωσέα, ὥσπερ καὶ εἰς πάντας ἀνθρώπους, τὰς ἐντολὰς τοῦ Βαρουχ ἐπεσκίασε καὶ τὰς ἰδίας ἐποίησεν ἀκούεσθαι· διὰ τοῦτο ἡ ψυχὴ κατὰ τοῦ πνεύματος τέτακται, καὶ τὸ πνεῦμα κατὰ τῆς ψυχῆς. Ἡ μὲν γὰρ ψυχή ἐστιν Ἐδέμ, τὸ δὲ πνεῦμα Ἐλωείμ, ἑκάτερα ὄντα ἐν πᾶσιν ἀνθρώποις καὶ θήλεσι καὶ ἄρρεσι. Πάλιν μετὰ ταῦτα ἐπέμφθη ἐπὶ τοὺς προφήτας ὁ Βαρούχ, ἵνα διὰ τῶν προφητῶν ἀκούσῃ τὸ πνεῦμα τὸ ἐν τοῖς ἀνθρώποις κατοικοῦν καὶ φύγῃ τὴν Ἐδὲμ καὶ τὴν πλάσιν τὴν πονηράν, ὥσπερ ἔφυγεν ὁ πατὴρ Ἐλωείμ· ὁμοίως καὶ (διὰ τῶν προφητῶν) τῇ αὐτῇ ἐπινοίᾳ ὁ Νάας διὰ τῆς ψυχῆς τῆς ἐνοικούσης ἐν τῷ ἀνθρώπῳ σὺν τῷ πνεύματι τοῦ πατρὸς ὑπέσυρε τοὺς προφήτας, καὶ ὑπεσύρησαν (156) πάντες, καὶ οὐκ ἠκολούθησαν τοῖς λόγοις τοῦ Βαρούχ, οὓς ἐνετείλατο Ἐλωείμ. Τὸ τελευταῖον ἐξ ἀκρο-

Missus igitur Baruch ad Mosem, per eum filiis Israel locutus est, ut se ad Bonum converterent. Sed tertius Naas, per animam quæ, nata ex Edem, in Mose, ut in omnibus hominibus, habitat, verba Baruch obscuravit et propria sua docuit : quapropter et animæ contra spiritum, et spiritus contra animam, certamen est. Nam Edem anima est, et Elohim spiritus, et uterque in omnibus hominibus, seu feminis, seu viris, inhabitat. Postea rursus missus est ad prophetas Baruch, ut spiritus qui in hominibus habitat per prophetas doceretur et Edem atque fictionem malam fugeret, sicut fugit pater Elohim; similiter et eadem mente Naas, per animam quæ in homine cum spiritu patris inhabitat, prophetas tentavit, qui supplantati cuncti mandatis quæ ab Elohim acceperat Baruch non obtemperaverunt. Pos-

2-3. Post verba τρίτος ὁ quædam excidisse videntur Schneid. Idem vocabulum *Edem* omissum male conjecit. Liquet enim Νάας hic esse restituendum. — 3. ἠκούσης Mill.; οἰκούσης cod.; η cum οι confusa a librario ob similitudinem soni. — 5-6. Conf. B. Pauli *Epist. ad Gal.* v, 17. — 10. ἀνθρώποις Bern.; οὐρανοῖς cod. Mill. — φύγῃ Schneidew.; φυγὸν cod. Mill. — 11-12. (διὰ τῶν προφητῶν) uncis inclusimus, quippe quæ sententiam turbent, fortasse male iterata ex superioribus Schn.; ἀψάμενος τῶν προφ. susp. Mill. — 12. ψυχῆς Schneid.; εὐχῆς cod. Mill. — 13. ὑπέσυρε Schn.; ἐπέσυρε cod.; ἐπεσύρετο susp. Mill. — 14. ὑπεσύρησαν Millerus; ἐπεσύρησαν cod. — 14-15. τοῖς λόγοις Mill.; οἱ λόγοι cod.

θυσίας προφήτην ἐπελέξατο Ἐλωεὶμ τὸν Ἡρακλέα καὶ ἔπεμψεν, ἵνα τοὺς δώδεκα ἀγγέλους τῆς Ἐδὲμ καταγωνίσηται καὶ ἐλευθερώσῃ τὸν πατέρα ἀπὸ τῶν δώδεκα ἀγγέλων τῆς κτίσεως τῶν πονηρῶν. Ταῦτά ἐστι τὰ δώδεκα ἆθλα τοῦ Ἡρακλέους, ἃ κατηγωνίσατο ὁ Ἡρακλῆς τῇ τάξει, ἀπὸ τοῦ πρώτου ἕως ἐσχάτου, λέοντα καὶ ὕδραν καὶ κάπρον καὶ τὰ ἑξῆς. Τῶν ἐθνῶν γὰρ εἶναι ταῦτα τὰ ὀνόματα, ἃ μετωνόμασται, φασίν, ἀπὸ τῆς ἐνεργείας τῶν μητρικῶν ἀγγέλων. Ὡς δ' ἐδόκει κατηγωνίσθαι, προσπλέκεται αὐτῷ ἡ Ὀμφάλη, ἥτις ἐστὶ Βάβελ ἢ Ἀφροδίτη, καὶ ὑποσύρει τὸν Ἡρακλέα καὶ ἀποδιδύσκει τὴν δύναμιν αὐτοῦ, τὰς ἐντολὰς τοῦ Βαρούχ, ἃς ἐνετείλατο Ἐλωείμ, καὶ μετενδιδύσκει τὴν ἰδίαν αὐτῆς στολήν, τουτέστι τὴν δύναμιν τῆς Ἐδὲμ τῆς κάτω δυνάμεως, καὶ οὕτως ἀτελὴς ἐγένετο τοῦ Ἡρακλέους ἡ προφητεία καὶ τὰ ἔργα αὐτοῦ. Τὸ δὲ τελευταῖον ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως πέμπεται ὁ Βαρούχ, καταπεμφθεὶς πάλιν ὑπὸ τοῦ Ἐλωείμ, καὶ ἐλθὼν εἰς Ναζαρὲτ εὗρε τὸν Ἰησοῦν, υἱὸν τοῦ Ἰωσὴφ καὶ Μαρίας, βόσκοντα πρόβατα, παιδάριον δυωδεκαετές, καὶ ἀναγγέλλει αὐτῷ ἀπ' ἀρχῆς πάντα ὅσα ἐγένετο ἀπὸ τῆς Ἐδὲμ καὶ τοῦ Ἐλωείμ, καὶ τὰ μετὰ ταῦτα ἐσόμενα, καὶ εἶπε·

tremo, e præputio delectus, missus ab Elohim Hercules propheta fuit, qui, devictis duodecim Edem angelis, a duodecim pravis creationis angelis patrem liberaturus erat. Hi sunt illi duodecim labores Herculei, quos omnes ordine, a primo ad ultimum, leonem et hydram et aprum et cætera continuo sustinuit. Gentium enim ea nomina vult esse a maternorum angelorum vi translata. Ubi devicisse omnia videbatur Hercules, allicit eum Omphale, quæ Babel aut Venus est, seductumque virtute, mandatis scilicet quæ Baruch ab Elohim acceperat, nudat, et sua ipsius rursus induit veste, scilicet Edem, inferioris potestatis, potestate; atque ita prophetia et opera Herculis imperfecta permansere. Postremo rursum Herodis temporibus Baruch ab Elohim mittitur, quumque venisset Nazareth, Jesum invenit, Joseph et Mariæ prolem, pascentem oves, duodecim annos natum, et docuit eum ab initio omnia quæcumque fecerant Edem et Elohim quæque posthac futura erant, et dixit: «Omnes ante te prophetæ seducti sunt. Fac igitur, Jesu,

9. ἢ Schneid.; ἡ cod. Mill. — 18. καὶ τὰ om cod. rest. Mill.

« Πάντες οἱ πρὸ σοῦ προφῆται ὑπεσύρησαν. Πειράθητι οὖν, Ἰησοῦ, « υἱὲ ἀνθρώπου, μὴ ὑποσυρῆναι, ἀλλὰ κήρυξον τοῦτον τὸν λόγον τοῖς « ἀνθρώποις καὶ ἀνάγγειλον αὐτοῖς τὰ περὶ τοῦ πατρὸς καὶ τὰ περὶ « τοῦ Ἀγαθοῦ, καὶ ἀνάβαινε πρὸς τὸν Ἀγαθὸν καὶ κάθου ἐκεῖ μετὰ τοῦ « πάντων ἡμῶν πατρὸς Ἐλωείμ. » Καὶ ὑπήκουσε τῷ ἀγγέλῳ (157) ὁ Ἰησοῦς εἰπών, ὅτι « Κύριε ποιήσω πάντα, » καὶ ἐκήρυξεν. Ὑποσῦραι οὖν ὁ Νάας καὶ τοῦτον ἠθέλησε [ὁ δὲ Ἰησοῦς οὐχ ὑπήκουσεν αὐτῷ] πιστὸς γὰρ ἔμεινε τῷ Βαρούχ. Ὀργισθεὶς οὖν ὁ Νάας, ὅτι αὐτὸν ὑποσῦραι οὐκ ἠδυνήθη, ἐποίησεν αὐτὸν σταυρωθῆναι. Ὁ δὲ καταλιπὼν τὸ σῶμα τῆς Ἐδὲμ πρὸς τὸ ξύλον, ἀνέβη πρὸς τὸν Ἀγαθόν. Εἰπὼν δὲ τῇ Ἐδέμ· « Γύναι, ἀπέχεις σου τὸν υἱόν, » τουτέστι τὸν ψυχικὸν ἄνθρωπον καὶ τὸν χοϊκόν, αὐτὸς δὲ εἰς χεῖρας παραθέμενος τὸ πνεῦμα τοῦ πατρός, ἀνῆλθε πρὸς τὸν Ἀγαθόν. Ὁ δὲ Ἀγαθός ἐστι Πρίαπος, ὁ πρίν τι εἶναι ποιήσας· διὰ τοῦτο καλεῖται Πρίαπος, ὅτι ἐπριοποίησε τὰ πάντα. Διὰ τοῦτο, φησίν, εἰς πάντα ναὸν ἵσταται, ὑπὸ πάσης τῆς κτίσεως τιμώμενος καὶ ἐν ταῖς ὁδοῖς βαστάζων τὰς ὀπώρας ἐπάνω αὐτοῦ, τουτέστι τοὺς καρποὺς τῆς κτίσεως, ὧν αἴτιος ἐγένετο,

« fili hominis, ut ne seducaris; sed hoc verbum hominibus prædica, et an-« nuntia eis quæ sunt patris et quæ Boni, et ascende ad Bonum, et sede « illic cum nostrum omnium patre Elohim. » Et jussum angeli peregit Jesus, dicens, « Domine, faciam omnia; » et prædicavit. Seducere illum etiam aggressus est Naas; [cui noluit obtemperare Jesus,] nam illius Baruch mandata fideliter exsequebatur. Ira igitur accensus Naas, quod eum seducere non posset, effecit ut is affigeretur cruci. Qui, relicto in cruce corpore Edem, ad Bonum ascendit. Quumque ad Edem sic locutus esset, « Mulier, filium « tuum tibi habes, » scilicet psychicum et choicum hominem, et ipse in manus patris commendavisset spiritum, ad Bonum ascendit redux. Bonus autem est Priapus, qui, antequam quidquam esset, creavit: quare Priapum nomen habet, quia omnia fecit prius (ἐπριοποίησε). Quare in omni templo erectus est, ab omni creatura colitur, et ipse in viis portat suspensos sibi autumnales fructus, quorum auctor fuit, quum creationem fecisset quæ prius

1. ἐπεσύρησαν cod. correxit Mill. — 7. Post ἠθέλησε Millerus conjicit addendum esse : ἀλλὰ Ἰησοῦς ἀκολουθῆσαι αὐτῷ οὐκ ἠθέλησε. — 11. Conf. Evangelium B. Joan. XIX, 26. — 16. ὁδοῖς] an τριόδοις?

ωριοποιήσας τὴν κτίσιν ωρότερον οὐκ οὖσαν. Ὅταν οὖν, φησίν, ἀκούσητε λεγόντων ἀνθρώπων, ὅτι κύκνος ἐπὶ τὴν Λήδαν ἦλθε καὶ ἐτεκνοποίησεν ἐξ αὐτῆς, ὁ κύκνος ἐστὶν ὁ Ἐλωείμ, καὶ ἡ Λήδα ἡ Ἐδέμ. Καὶ ὅταν λέγωσιν οἱ ἄνθρωποι, ὅτι ἀετὸς ἦλθεν ἐπὶ τὸν Γανυμήδην, ὁ ἀετός ἐστιν ὁ Νάας, ὁ δὲ Γανυμήδης ὁ Ἀδάμ· καὶ ὅταν λέγωσιν, ὅτι ὁ χρυσὸς ἦλθεν ἐπὶ τὴν Δανάην καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς, ὁ χρυσός ἐστιν ὁ Ἐλωείμ, Δανάη δὲ ἐστιν ἡ Ἐδέμ. Ὁμοίως δὲ [καὶ] κατὰ τὸν αὐτὸν τρόπον ωάντας τοὺς τοιούτους λόγους μύθοις ἐμφέροντας ωαρατιθέμενοι διδάσκουσιν. Ὅταν οὖν ωροφῆται λέγωσιν· «Ἄκουε οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ, Κύριος «ἐλάλησεν,» οὐρανὸν λέγει [158], φησί, τὸ ωνεῦμα τὸ ἐν τῷ ἀνθρώπῳ, τὸ τοῦ Ἐλωείμ, γῆν δὲ τὴν ψυχὴν τὴν ἐν τῷ ἀνθρώπῳ σὺν τῷ ωνεύματι, Κύριον δὲ τὸν Βαρούχ, Ἰσραὴλ δὲ τὴν Ἐδέμ. Ἐδὲμ γὰρ λέγεται καὶ Ἰσραὴλ ἡ σύζυγος τοῦ Ἐλωείμ. «Οὐκ ἔγνω με, φησίν, «Ἰσραήλ, εἰ γὰρ ἐγνώκει ὅτι ωρὸς τῷ Ἀγαθῷ εἰμί, οὐκ ἂν ἐκόλαζε «τὸ ωνεῦμα τὸ ἐν τοῖς ἀνθρώποις διὰ τὴν ωατρικὴν ἄγνοιαν.»

27. Ἐντεῦθεν... γέγραπται δὲ καὶ ὅρκος ἐν τῷ ωρώτῳ βιβλίῳ τῷ

non fuerat. Igitur ubi audietis dicentes cycnum ad Ledam venisse et genuisse ex ea, cycnus Elohim est, et Leda Edem. Et ubi aquilam venisse ad Ganymedem, aquila Naas est, et Ganymedes Adam; et ubi aurum ad Danaen venisse et genuisse ex ea, aurum Elohim est, Danae Edem. Hac ratione omnes fabulas interpretantur. Et ubi dicunt prophetæ, «Audi, cœlum, «et aurem intende, terra, Dominus locutus est,» cœlum hic dicitur, inquit, spiritus qui habitat in homine ab Elohim, terra autem anima quæ in homine cum spiritu habitat, Dominus Baruch, Israel Edem; nam Edem et Israel nominibus appellatur uxor illius Elohim. «Non me cognovit, ait, «Israel; quippe, si me apud Bonum esse cognovisset, non per patris igno«rantiam spiritum qui est in hominibus punivisset.»

27. Inde..... scriptum est etiam in libro primo cui titulus Baruch, jura-

1. ωρότερον Schneid.; ωρῶτον cod. Mill. — 9. μύθους ἐμφερεῖς ὄντας Schn.; μύθους ἐμφέροντας cod.; μύθοις ἐμφέροντας Mill. — 10. λέγουσιν cod. — 10-11. Conf. Is. 1, 2. — 12. ἀνθρώπῳ Schneid.; οὐρανῷ cod. Mill. — 14 sqq. Cf. Is. 1, 3; ἔγνω με Schneid.; ἐγνώκει cod. Mill. — 16. ἀνθρώποις Bern.; οὐρανοῖς cod. Mill. — 17. ἐντεῦθεν in cod. et in edit. Mill. claudit caput superius. Schneid. legit Ἐν-

ἐπιγραφομένῳ Βαρούχ, ὃν ὁρκίζουσι τοὺς κατακούειν μέλλοντας τούτων τῶν μυσηρίων καὶ τελεῖσθαι παρὰ τῷ Ἀγαθῷ· ὃν ὅρκον, φησίν, ὤμοσεν ὁ πατὴρ ἡμῶν Ἐλωεὶμ παρὰ τῷ Ἀγαθῷ γενόμενος, καὶ οὐ μετεμελήθη ὁμόσας, περὶ οὗ γέγραπται, φησίν, «Ὤμοσε «Κύριος καὶ οὐ μεταμεληθήσεται.» Ἔστι δὲ ὁ ὅρκος οὗτος. «Ὀμνύω «τὸν ἐπάνω πάντων, τὸν Ἀγαθὸν, τηρῆσαι τὰ μυστήρια ταῦτα καὶ «ἐξειπεῖν μηδενί, μηδὲ ἀνακάμψαι ἀπὸ τοῦ Ἀγαθοῦ ἐπὶ τὴν κτίσιν.» Ἐπειδὰν δὲ ὁμόσῃ τοῦτον τὸν ὅρκον, εἰσέρχεται πρὸς τὸν Ἀγαθὸν καὶ βλέπει, «ὅσα ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ «καρδίαν ἀνθρώπου οὐκ ἀνέβη,» καὶ πίνει ἀπὸ τοῦ ζῶντος ὕδατος, ὅπερ ἐστὶ λουτρὸν αὐτοῖς, ὡς νομίζουσι, πηγὴ ζῶντος ὕδατος ἀλλομένου. Διακεχώρισται γάρ, φησίν, ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ ἔστιν ὕδωρ τὸ ὑποκάτω τοῦ στερεώματος τῆς πονηρᾶς κτίσεως, ἐν ᾧ λούονται οἱ χοϊκοὶ καὶ ψυχικοὶ ἄνθρωποι· καὶ ὕδωρ ἐστὶν ὑπεράνω τοῦ στερεώματος τοῦ Ἀγαθοῦ ζῶν, ἐν ᾧ λούονται οἱ πνευμα-

mentum, quod jurare debent ii qui mysteria hæc audire et initiari volunt apud Bonum. Quod juramentum, ait, juravit pater noster Elohim, quum apud Bonum esset, et eum non pœnituit, secundum scriptum illud: «Juravit «Dominus, et non pœnitebit eum.» Sic ergo juratur: «Juro per eum qui «est super omnia, per Bonum, servaturum me hæc mysteria, nec ulli re-«velaturum, nec unquam a Bono ad creaturam deflexurum.» Quod ubi juravit, accedit ad Bonum et videt «quæ oculus non vidit nec audivit auris, «quæque in cor hominis non ascenderunt,» et bibit ex aqua viva, quam sibi lavacrum usurpant, quæ est aquæ salientis vivus fons. Discrimen enim ait esse inter aquam et aquam, et sub firmamento jacere pravæ creationis aquam, in qua lavantur choici et psychici homines; super firmamentum autem esse vivam aquam Boni, in qua lavantur quicumque vivunt e spi-

τεῦθεν γέγραπται δέ. Mill. suspicatur quædam excidisse post ἐντεῦθεν, quod verisimile est. Librarius enim mihi videtur sententiam omisisse cujus prima verba erant ἐντεῦθεν γέγραπται, et incautus ad sententiam aliam ivisse quæ hoc eodem vocabulo incipiebat: γέγραπται δὲ καὶ ὅρκος... Hoc fragmentum (§ 27) e loco suo forsitan commentatum est et reponendum inter §§ 23 et 24. — 3. ὤμοσεν Mill. ὠνόμασεν cod. — 4 sqq. Cf. Psalm. CIX, 4. — 5. οὗτος Schneid.; οὕτως cod. Mill. — 6. πάντων, τὸν Ἀγαθὸν Schneid.; πάντα τὸν Ἀγαθὸν pr. cod.; πάντων τῶν ἀγαθῶν corr. cod. Mill. — 9-10. Conf. B. Pauli *I Epist. ad Corinth.* II, 9. — 11-12. Cf. Evang. B. Joan. IV, 14. — 15. ὑπεράνω Mill.; ὑπὸ ἄνω cod.

τικοὶ [καὶ] ζῶντες ἄνθρωποι, ἐν ᾧ ἐλούσατο Ἐλωεὶμ καὶ λουσάμενος οὐ μετεμελήθη. Καὶ ὅταν λέγῃ, φησίν, ὁ προφήτης «λαβεῖν ἑαυ-«τῷ[159] γυναῖκα πορνείας, διότι πορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ «ὄπισθε τοῦ Κυρίου,» τουτέστιν ἡ Ἐδὲμ ἀπὸ τοῦ Ἐλωείμ, ἐν τούτοις, φησίν, ὁ προφήτης σαφῶς λαλεῖ τὸ ὅλον μυστήριον, καὶ οὐκ ἀκούεται διὰ τὴν κακίαν τοῦ Νάας. Κατὰ τὸν αὐτὸν ἐκεῖνον τρόπον καὶ τὰς ἄλλας λαλιὰς προφητικὰς ὁμοίως παράδουσι διὰ πλειόνων βιβλίων, ἔστι δὲ αὐτοῖς προηγουμένως βιβλίον ἐπιγραφόμενον Βαρούχ, ἐν ᾧ ὅλην τὴν τοῦ μύθου αὐτῶν διαγωγὴν ὁ ἐντυχὼν γνώσεται. Πολλαῖς μὲν οὖν αἱρέσεσιν ἐντυχών, ἀγαπητοί, οὐδενὶ τούτου κακῷ χείρονι ἐνέτυχον. Ἀληθῶς δέ, ὥσπερ λέγεται, κατὰ τὸν αὐτοῦ Ἡρακλέα δεῖ μιμησαμένους ἐκκαθᾶραι τὴν Αὐγείου κόπρον, μᾶλλον δὲ ἀμάραν, εἰς ἣν ἐμπεσόντες οἱ τούτου ἐχόμενοι οὐ πώποτε ἀποπλυθήσονται, ἀλλ' οὐδὲ ἀνακύψαι δυνήσονται.

28. Ἐπεὶ γοῦν καὶ τὰ Ἰουστίνου τοῦ ψευδογνωστικοῦ ἐπιχειρήματα ἐξεθέμεθα, δοκεῖ καὶ τὰς τῶν ἀκολούθων αἱρέσεων δόξας ἐν

ritu homines, in qua ablutus est Elohim. neque pœnituit eum quod ablutus esset. Et ubi propheta canit, «Sumere sibi mulierem scortum, quoniam «scortando divortium faciet terra a Domino,» id est Edem ab Elohim, his verbis evidenter a propheta significatur totum mysterium, quod non intelligitur ob malitiam Naas. Eodem isto modo cæteras etiam propheticas loquelas in compluribus libris a vero sensu detorquent, quorum præcipuus est qui inscribitur Baruch, ubi fabulæ ipsorum pertractationem cognoscet qui legerit. Quum permultæ mihi occurrerint hæreses, o carissimi, nulla mihi ista quidem pejor occurrit. Vere Herculem illius imitari oportet, et Augiæ expurgare, ut dicitur, stabulum, potiusve sentinam, in quam asseclæ ejus ubi inciderint non ablui, imo ne emergere quidem poterunt.

28. Quoniam quæ molitus est Justinus pseudognosticus evolvimus, operæ pretium erit similes hæreses in sequentibus libris evolvere, neque ullam

1. Addidi [καί]. — 2 sqq. Cf. Os. 1, 2. — 7. ἄλλας λαλιάς Schneid.; ἄλλας cod. Mill. — παράδουσι Schneid.; παραδιδοῦσι cod. Mill. — 9. ὁ ἐντυχὼν Miller.; ὁ εὖ τυχὼν cod. — 11. λέγεται Schneidew.; λέγει καὶ ὁ cod. Mill. qui καλὸς susp. pro κατὰ. — 13. ἀνεχόμενοι cod. Miller. — 14. ἀποπληθήσονται cod. corr. Mill.

ταῖς ἑξῆς βίβλοις ἐκθέσθαι, μηδένα δὲ καταλιπεῖν ἀνέλεγκτον αὐτῶν, τῶν ὑπ' αὐτῶν λεγομένων παρατιθεμένων, ὄντων ἱκανῶν πρὸς παραδειγματισμόν, εἰ καὶ μόνον ἐκρηθείη τὰ ἀπόκρυφα παρ' αὐτοῖς καὶ ἄρρητα, ἃ μόλις μετὰ πολλοῦ πόνου μυοῦνται οἱ ἄφρονες. Ἴδωμεν οὖν τί καὶ Σίμων λέγει.

earum dimittere irrefutatam; fiet autem refutatio ex patefactis eorum dictis, quæ sufficiant ad confutationem, dummodo abscondita et arcana eorum palam efferantur quæ non sine multo labore initiantur stulti. Nunc igitur quid Simoni etiam placuerit videamus.

1. ἀνέλεκτον cod. corr. Mill. — 2. ὑπ' αὐτῶν Mill.; ὑπ' αὐτὸν cod. — 3. ἐκκρι- θείη et αὐτῆς cod. corr. Mill. — 4. μύονται cod.

(160) ΒΙΒΛΙΟΝ ϛ'.

1. Τάδε ἔνεστιν ἐν τῇ ἕκτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου.

2. Τίνα τὰ Σίμωνι τετολμημένα, καὶ ὅτι ἐκ μαγικῶν καὶ ποιητικῶν τὸ δόγμα κρατύνει.

3. Τίνα ὁ Οὐαλεντῖνος δογματίζει, καὶ ὅτι ἐκ γραφῶν οὐ συνίσταται αὐτοῦ τὸ δόγμα, ἀλλὰ ἐκ τῶν Πλατωνικῶν καὶ Πυθαγορικῶν δογμάτων.

4. Καὶ τίνα τὰ Σεκούνδῳ καὶ Πτολεμαίῳ καὶ Ἡρακλέωνι δοκοῦντα, ὡς καὶ αὐτοὶ τοῖς αὐτοῖς, οἷς οἱ Ἕλληνες σοφοί, ἐχρήσαντο ἄλλοις ῥήμασι.

5. Τίνα τὰ Μάρκῳ καὶ Κολαρβάσῳ νομισθέντα, καὶ ὅτι τινὲς αὐτῶν μαγείαις καὶ ἀριθμοῖς Πυθαγορείοις προσέσχον.

6. Ὅσα μὲν οὖν ἐδόκει τοῖς ἀπὸ τοῦ ὄφεως τὰς ἀρχὰς παρειληφόσι καὶ κατὰ τελείωσιν τῶν χρόνων εἰς φανερὸν τὰς δόξας ἑκουσίως προενεγκαμένοις, ἐν τῇ πρὸ ταύτης βίβλῳ, οὔσῃ πέμπτῃ τοῦ Ἐλέγχου

LIBER VI.

1. Hæc in sexta omnium hæresium refutationis parte insunt.

2. Quænam Simon ausus sit, et quomodo ejus disciplina e magorum poetarumque disciplinis constet.

3. Quænam Valentinus doceat, et quomodo ejus doctrina non ex Scripturis sacris, sed e Platonicis et Pythagoricis placitis sit conflata.

4. Quænam Secundo et Ptolemæo et Heracleoni placuerint, quomodo ipsi eadem quæ Græci sapientes, aliis verbis, docuerint.

5. Quænam Marcus et Colarbasus statuerint et quomodo ex iis plures artibus magicis numerisque Pythagoreis se addixerint.

6. Quæ illi cogitaverint qui a serpente principia sua desumpserunt et progressu temporum suas doctrinas in lucem ultro protulerunt, in superiore libro, qui hæresium Refutationis quintus est, exposuimus. Nunc et eorum

8. ἄλλοις cod.; Schneidew. susp. ἀλλ' ἄλλοις. — 11. ἔσχον cod.; ἐνέσχον vel ἐσχόλαζον Miller.; προσέσχον Schneid. — 12. περειληφόσι cod. — 13. τελείωσιν Buns. *Hippol.* 2ª edit. I, 350; μείωσιν cod. Mill. – ἑκουσίως cod.; ἀνοσίως Buns. l. l. — 14. προενεγκαμένοις Schn.; προσενεγκαμένοις cod. Mill.

τῶν αἱρέσεων, ἐξεθέμην. Νυνὶ δὲ καὶ τῶν ἀκολούθων τὰς γνώμας οὐ [161] σιωπήσω, ἀλλ' οὐδὲ μίαν ἀνέλεγκτον καταλείψω, εἴγε δυνατὸν πάσας ἀπομνημονεῦσαι καὶ τὰ τούτων ἀπόῤῥητα ὄργια, ἃ δικαίως ὄργια κλητέον· οὐ γὰρ μακρὰν ἀπέχουσιν ὀργῆς τοιαῦτα τετολμηκότες, ἵνα καὶ τῇ ἐτυμολογίᾳ χρήσωμαι.

α'. Περὶ Σίμωνος.

7. Δοκεῖ οὖν καὶ τὰ Σίμωνος τοῦ Γιτληνοῦ, κώμης τῆς Σαμαρείας, νῦν ἐκθέσθαι, παρ' οὗ καὶ τοὺς ἀκολούθους δείξομεν ἀφορμὰς λαβόντας ἑτέροις ὀνόμασιν ὁμοια τετολμηκέναι. Οὗτος ὁ Σίμων μαγείας ἔμπειρος ὢν καὶ τὰ μὲν παίξας πολλοὺς κατὰ τὴν Θρασυμήδους τέχνην, ᾧ τρόπῳ ἄνωθεν ἐξεθέμεθα, τὰ δὲ καὶ διὰ δαιμόνων κακουργήσας, θεοποιῆσαι ἑαυτὸν ἐπεχείρησεν, ἄνθρωπος γόης καὶ μεσὶτὸς ἀπονοίας, ὃν ἐν ταῖς Πράξεσιν οἱ ἀπόστολοι ἤλεγξαν· οὗ

qui illos secuti sunt non dubitabo expromere sententias, neque unam irrefutatam dimittere in animo est, siquidem meminisse potuero omnium omniaque memoria repetere istorum arcana orgia, quæ jure quidem orgia dici possunt: nam haud procul absunt a furore (ὀργή) qui talia ausi sunt, ut etiam etymologia utar.

I. DE SIMONE.

7. Videtur igitur et Simonis Gitteni, ex vico qui est in Samaria, exponere placita, cujus discipulos ostendemus mutatis nominibus eadem ausos esse. Simon iste, magicarum artium peritus, quum aliquando multos Thrasymedis arte, qua ratione supra enarravimus, decepisset, aliquando et mala per dæmones opera patravisset, sese ipse facere deum tentavit, homo quidem præstigiator et demens, quem in Actis apostoli convicerunt. Quod

6 sqq. De Simone lege B. Iren. *Cont. hæres.* l. I, c. XIX, XX; Tert. *Præs.* c. XLVI; B. Epiph. *Hæres.* XXI; Theod. *Hæret. fab.* lib. I, c. I; B. August. *De Hæres.* c. I. Cf. B. Just. c. I, *Apol.* §§ 26, 66; B. Greg. Naz. *Or.* c. XLIV; Eus. *Histor. Eccles.* l. II, c. XIII. De eodem multa et partim incredibilia narraverunt *Clementinorum* et *Recognitionum* auctor et Abdias et Nicephorus. – Γιτληνοῦ Schneid.; Γειτληνοῦ cod. secunda manu. Mill.; Γειτλινοῦ pr. cod. Conf. Steph. Byz. et Io. Cleric. ad *Constit. apostol.* VI, 7. Schneidew. — 8-9. μαγείαν cod. corr. Mill. — 10. ᾧ τρόπῳ κ. τ. λ. Vide supra, lib. IV. — 12. Conf. Acta, VIII, 9 sqq.

πολλῷ σοφώτερον καὶ μετριώτερον Ἄψεθος ὁ Λίβυς ὀρεχθεὶς θεὸς νομισθῆναι ἐν Λιβύῃ ἐπεχείρησεν, οὗ τὸν μῦθον οὐ πολύ τι ἀπεμφαίνοντα τῆς Σίμωνος τοῦ ματαίου ἐπιθυμίας, δοκεῖ διηγήσασθαι ὄντα ἄξιον τῆς τούτου ἐπιχειρήσεως.

8. Ἄψεθος ὁ Λίβυς ἐπεθύμησε θεὸς γενέσθαι· ὡς δὲ πολυπραγμονῶν πάνυ ἀπετύγχανε τῆς ἐπιθυμίας, ἠθέλησε κἂν δοκεῖν γεγονέναι, καὶ ἔδοξέ γε ὡς ἀληθῶς χρόνῳ πλείονι γεγονέναι θεός. Ἔθυον γὰρ οἱ ἀνόητοι Λίβυες αὐτῷ ὡς θείᾳ τινὶ δυνάμει, νομίζοντες ἄνωθεν ἐξ οὐρανοῦ πεπιστευκέναι φωνῇ. Συναθροίσας γὰρ εἰς ἕνα καὶ τὸν αὐτὸν οἰκίσκον ὄρνιθας πλείστους ψιττακοὺς κατέκλεισεν· εἰσὶ δὲ πλεῖστοι κατὰ τὴν Λιβύην ψιττακοί, καὶ ἐναργῶς μιμούμενοι πάνυ τὴν ἀνθρωπίνην φωνήν. Οὗτος χρόνῳ διαθρέψας τοὺς ὄρνεις ἐδίδαξε [162] λέγειν· « Ἄψεθος θεός ἐστιν. » Ὡς δὲ ἤσκησαν οἱ ὄρνιθες χρόνῳ πολλῷ καὶ τοῦτο ἔλεγον, ὅπερ ᾤετο λεχθὲν θεὸν εἶναι ποιήσειν νομίζεσθαι τὸν Ἄψεθον, τότε ἀνοίξας τὸ οἴκημα

idem prudentius et moderatius in Libya tentavit, quum reputari cuperet deus, Apsethus Libys : cujus fabulam quæ haud longe abest a vano Simonis conatu, explanare libet illo haud indignam.

8. Apsethus Libys cupivit esse deus. Quum irriti ejus conatus viderentur, voluit saltem deus videri, et visus quidem est vere factus esse aliquando deus. Nam eum coluere Libyes insani, ut divinum aliquod numen, quum voci desuper e cœlo missæ credere arbitrarentur. Coegit enim in ædiculam unam aves permultas psittacos; plurimi autem in Libya psittaci inveniuntur et vocem humanam imitantur planissime. Hic aluit diu volucres docuitque dicere hoc : Apsethus deus est. Postquam per longissimum tempus edoctæ dixere volucres id quo dicto fore putabat Apsethus ut deus reputaretur, tum ædi-

5. Ἄψεθος ὁ Λίβυς] Conf. Apostolium, *Proverb.* s. v. Ψαφῶν Mill. Maximus Tyrius, *Diss.* XXXV, prorsus similia de Psaphone quodam Libye narrat, nisi quod ultima desiderantur. Maximum Tyrium exscripsit Apostolius, *Cent.* XVIII, XLVIII, p. 730, edit. *Leutsch*, qui similem narrationem affert de Hannone Carthaginiensi ex Æliano. V. *Hist.* XIV, XXX. Conf. etiam Justin. XXI, IV, et Plin. *Nat. Histor.* VIII, XVI. Schneidew. — 8. αὐτῷ ὡς Schneidew.; αὐτῷ cod. Mill. qui δυνάμει delet et θείᾳ τινὶ ad φωνῇ refert. Quem recte conjecisse forsan dixeris; nam apud Maximum Tyrium, unde hæc excerpta sunt, legimus : θείαν τινὰ νομίσαντες εἶναι φήμην, ἔθυον κ. τ. λ. — 14. ᾤετο Mill.; ᾤετο τὸ cod.

εἴασεν ἄλλον ἀλλαχόσε τοὺς ψιττακούς. Πετομένων δὲ τῶν ὀρνίθων ἐξῆλθεν ὁ φθόγγος εἰς πᾶσαν τὴν Λιβύην, καὶ τὰ ῥήματα αὐτῶν διῆλθε μέχρι τῆς Ἑλληνικῆς γῆς, καὶ οὕτως οἱ Λίβυες καταπλαγέντες ἐπὶ τῇ τῶν ὀρνίθων φωνῇ τό τε πραχθὲν ὑπὸ τοῦ Ἀψέθου πανούργευμα μὴ ἐννοήσαντες, θεὸν εἶχον τὸν Ἄψεθον. Τῶν δὲ Ἑλλήνων τις ἀκριβῶς ἐννοήσας τὸ σόφισμα τοῦ νενομισμένου θεοῦ διὰ τῶν αὐτῶν ἐκείνων ψιττακῶν οὐκ ἐλέγχει μόνον, ἀλλὰ καὶ ἀφανίζει τὸν ἀλαζόνα καὶ φορτικὸν ἐκεῖνον ἄνθρωπον. Μετεδίδαξε δὲ ὁ Ἕλλην καθείρξας πολλοὺς ἀπὸ τῶν ψιττακῶν λέγειν· « Ἄψεθος « ἡμᾶς κατακλείσας ἠνάγκασε λέγειν, Ἄψεθος θεός ἐστιν. » Ἀκούσαντες δὲ οἱ Λίβυες τῆς παλινῳδίας τῶν ψιττακῶν, πάντες ὁμοθυμαδὸν συνελθόντες κατέκαυσαν τὸν Ἄψεθον.

9. Οὕτως ἡγητέον Σίμωνα τὸν μάγον ἀπεικάζοντας τῷ Λίβυϊ τάχιον ἀνθρώπῳ γενομένῳ, [οὐ τῷ] ὄντως θεῷ. Εἰ δὲ ἔχει τὰ τῆς εἰκόνος ἀκριβῶς, καὶ πέπονθεν ὁ μάγος πάθος τι παραπλήσιον Ἀψέθῳ, ἐπιχειρήσωμεν μεταδιδάσκειν τοῦ Σίμωνος τοὺς ψιττακούς, ὅτι Χριστὸς οὐκ ἦν Σίμων ὁ ἑστώς, στάς, στησόμενος· ἀλλ' ἄνθρωπος

ficium reseravit et alium aliorsum dimisit psittacum. Quibus huc illuc volantibus, vox per totam Libyam ivit, et pervenere usque in Græciam eorum verba; atque ita Libyes voce avium attoniti, ignorantesque fraudem quam excogitaverat Apsethus, hunc pro deo coluerunt. At Græcus quidam homo, falsa istius novi dei arte perspecta, iisdem illis psittacis usus istum vanum et mendacem hominem confutavit, imo et omnino perdidit. Nam docuit multos in cavea inclusos psittacos e contrario dicere: « Apse« thus inclusos nos coegit dicere: Apsethus deus est. » Qua audita psittacorum palinodia, omnes una Libyes congressi Apsethum cremaverunt.

9. Sic existimandum est de Simone mago, ut comparemus eum huic Afro qui brevi homo visus est et non vero Deo. Si ea similitudo probatur, si idem mago atque Apsetho accidit, jam Simonis psittacos doceamus dicere, Christum non fuisse Simonem, qui stat, stetit, stabit; sed hominem ex

14. Cod. et Schneid. habent: *τάχιον ἀνθρώπῳ γενομένῳ οὕτως θεῷ*. Nisi amplior corruptela subest, legendum certe *τάχιον ἀνθρώπῳ γενομένῳ, οὐ τῷ ὄντως θεῷ*, facillime *οὐ τῷ* cum *ὄντως* confuso a librario et omisso.

ἦν ἐκ σπέρματος, γέννημα γυναικός, ἐξ αἱμάτων καὶ ἐπιθυμίας σαρκικῆς καθάπερ καὶ οἱ λοιποὶ γεγεννημένος· καὶ ὅτι ταῦθ' οὕτως ἔχει, προϊόντος τοῦ λόγου ῥαδίως ἐπιδείξομεν. Λέγει δὲ ὁ Σίμων, μεταφράζων τὸν νόμον [163] Μωϋσέως ἀνοήτως τε καὶ κακοτέχνως, Μωσέως γὰρ λέγοντος, «ὅτι ὁ Θεὸς πῦρ φλέγον ἐστὶ καὶ καταναλίσκον,» δεξάμενος τὸ λεχθὲν ὑπὸ Μωσέως οὐκ ὀρθῶς, πῦρ εἶναι τῶν ὅλων λέγει τὴν ἀρχήν, οὐ νοήσας τὸ εἰρημένον, ὅτι Θεὸς οὐ πῦρ, ἀλλὰ πῦρ φλέγον καὶ καταναλίσκον, οὐκ αὐτὸν διασπῶν μόνον τὸν νόμον Μωσέως, ἀλλὰ καὶ τὸν σκοτεινὸν Ἡράκλειτον συλαγωγῶν. Ἀπέραντον δὲ εἶναι δύναμιν ὁ Σίμων προσαγορεύει τῶν ὅλων τὴν ἀρχήν, λέγων οὕτως· «Τοῦτο τὸ γράμμα ἀποφάσεως «φωνῆς καὶ ὀνόματος ἐξ ἐπινοίας τῆς μεγάλης δυνάμεως τῆς ἀπε«ράντου. Διὸ ἔσται ἐσφραγισμένον, κεκρυμμένον, κεκαλυμμένον, «κείμενον ἐν τῷ οἰκητηρίῳ, οὗ ἡ ῥίζα τῶν ὅλων τεθεμελίωται.» Οἰκητήριον δὲ λέγει εἶναι τὸν ἄνθρωπον τοῦτον τὸν ἐξ αἱμάτων γεγεννημένον, καὶ κατοικεῖν ἐν αὐτῷ τὴν ἀπέραντον δύναμιν, ἣν ῥίζαν

semine natum, mulieris filium, ex sanguine et concupiscentia carnis generatum sicut et generantur cæteri omnes : quod ita se habere progrediente sermone facile probabimus. Dicit autem Simon, legem Mosis insipienter et insidiose interpretatus, hæc verba Mosis, «Deus ignis comburens et con«sumens est,» non vero sensu accipi ; nam significare ignem principium mundi esse, quum dicat contra Moses, quod Simo iste haud intellexit, non ignem, sed ignem comburentem et consumentem esse Deum ; atque ita non modo Mosis corrumpit legem, sed etiam obscurum Heraclitum furatur. Infinitam autem potestatem esse affirmat mundi principium, ubi dicit : «Hic «liber revelationis vocis et nominis ex intelligentia magnæ potestatis infi«nitæ. Quare obsignatum, absconditum, velatum erit, et jacebit in habita«culo, ubi fundata radix mundi est.» Habitaculum esse hunc hominem qui ex sanguine natus est, et in illo inhabitare infinitam potestatem, quæ sit

4. μεταφράζων Schneid.; μεταφράσσων cod.; μεταφράσων Mill. — 4 sqq. Cum his et sequentibus, confer quæ infra leguntur, lib. X, c. XII. — 5-6. Conf. *Deut.* IV, 24 : Ὅτι Κύριος ὁ Θεός σου πῦρ καταναλίσκον ἐστὶν αὐτός, Θεὸς ζηλωτής. — 12. Conf. infra, c. XII. — 12-13. τοῦ ἀπεράντου cod. corr. Mill.

εἶναι τῶν ὅλων φησίν. Ἔστι δὲ ἡ ἀπέραντος δύναμις, τὸ πῦρ, κατὰ τὸν Σίμωνα οὐδὲν ἁπλοῦν, καθάπερ οἱ πολλοὶ ἁπλᾶ λέγοντες εἶναι τὰ τέσσαρα στοιχεῖα καὶ τὸ πῦρ ἁπλοῦν εἶναι νενομίκασιν, ἀλλὰ γὰρ εἶναι τὴν τοῦ πυρὸς διπλῆν τινὰ τὴν φύσιν, καὶ τῆς διπλῆς ταύτης καλεῖ τὸ μέν τι κρυπτόν, τὸ δέ τι φανερόν· κεκρύφθαι δὲ τὰ κρυπτὰ ἐν τοῖς φανεροῖς τοῦ πυρός, καὶ τὰ φανερὰ τοῦ πυρὸς ὑπὸ τῶν κρυπτῶν γεγονέναι. Ἔστι δὲ τοῦτο, ὅπερ Ἀριστοτέλης δυνάμει καὶ ἐνεργείᾳ καλεῖ ἢ Πλάτων νοητὸν καὶ αἰσθητόν. Καὶ τὸ μὲν φανερὸν τοῦ πυρὸς πάντα ἔχει ἐν ἑαυτῷ ὅσα ἄν τις ἐπινοήσῃ ἢ καὶ λάθῃ παραλιπὼν τῶν ὁρατῶν· τὸ δὲ κρυπτὸν πᾶν (164) ὅ, τι ἐννοήσει τις νοητὸν καὶ πεφευγὸς τὴν αἴσθησιν ἢ καὶ παραλείπει μὴ διανοηθείς. Καθόλου δὲ ἔστιν εἰπεῖν, πάντων τῶν ὄντων αἰσθητῶν τε καὶ νοητῶν, ὧν ἐκεῖνος κρυφίων καὶ φανερῶν προσαγορεύει, ἔστι θησαυρὸς τὸ πῦρ τὸ ὑπερουράνιον, οἱονεὶ δένδρον μέγα, ὡς τὸ δι' ὀνείρου βλεπόμενον τῷ Ναβουχοδονόσορ, ἐξ οὗ πᾶσα σὰρξ τρέ-

mundi radix. Est autem infinita potestas ignis, qui, secundum Simonem, non simplex est, ut plerisque videtur esse sicut et cætera elementa, sed contra natura duplex, cujus alterum occultum, alterum apertum esse vult: quod ignis occultum est, in aperto occultari; quod autem apertum est ignis sub occulto jacere. Id est quod appellat *potentiam* et *actum* Aristoteles, aut Plato *intelligibile* et *sensibile*. Et apertum quod in igne est omnia continet in se quæcumque aut perspiciuntur aut etiam lateant omissa sed visibilia sunt; occultum autem complectitur quidquid intelligitur sed sensum effugit aut etiam non intellectum dimittitur. Uno autem verbo dici potest rerum omnium, seu visibilium, seu intelligibilium, quas occultas et apertas appellat iste, thesaurum esse supercœlestem, ut arborem illam magnam quæ visa somnianti Nabuchodonosor est, e qua omnis caro alitur. Et ad aperta

3 sqq. Ex hoc loco videtur Theodoretus quædam exscerpsisse; apud eum enim legimus (*Hæret. fab.* l. I, c. 1) : Ἄπειρόν τινα ὑπέθετο δύναμιν· ταύτην δὲ ῥίζωμα τῶν ὅλων ἐκάλεσεν, εἶναι δὲ αὐτὴν πῦρ ἔφησε, διπλῆν ἐνέργειαν ἔχον, τὴν μὲν φαινομένην, τὴν δὲ κεκρυμμένην. — 10. τῶν ὁρατῶν Miller. τὸν ἀόρατον cod. — 11. πεφευγός cod. – ἢ Schneid.; εἰ cod. Mill. — 12. ὄντων Miller.; ὅλων cod. — 13. κρυφίως καὶ φανερῶς cod. Mill. corr. Schneid. — 14. ὡς τὸ Mill.; ὡς cod. — 15. τὸν Ναβουχοδονόσορ cod. Conf. Daniel, IV, 6-9.

φεται. Καὶ τὸ μὲν φανερὸν εἶναι τοῦ πυρὸς νομίζει τὸ πρέμνον, τοὺς κλάδους, τὰ φύλλα, τὸν ἔξωθεν αὐτῷ περικείμενον φλοιόν. Ἅπαντα, φησί, ταῦτα τοῦ μεγάλου δένδρου ἀναφθέντα ἀπὸ τῆς παμφάγου τοῦ πυρὸς ἀφανίζεται φλογός. Ὁ δὲ καρπὸς τοῦ δένδρου ἐὰν ἐξεικονισθῇ καὶ τὴν ἑαυτοῦ μορφὴν ἀπολάβῃ, εἰς ἀποθήκην τίθεται, οὐκ εἰς τὸ πῦρ. Γέγονε μὲν γὰρ, φησίν, ὁ καρπός, ἵνα εἰς τὴν ἀποθήκην τεθῇ, τὸ δὲ ἄχυρον ἵνα παραδοθῇ τῷ πυρί, ὅπερ ἐστὶ πρέμνον, οὐκ αὐτοῦ χάριν ἀλλὰ τοῦ καρποῦ γεγενημένον.

10. Καὶ τοῦτό ἐστι, φησί, τὸ γεγραμμένον ἐν τῇ Γραφῇ· «Ὁ «γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ ἐστι, καὶ ἄνθρω- «πος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον.» Εἰ δὲ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον, δέδεικται, φησίν, ὅτι ξύλον οὐκ ἄλλο τι ἀλλ' ἢ ἄνθρωπος ἐστίν. Ἀλλὰ περὶ τῆς ἐκκρίσεως αὐτοῦ καὶ διακρίσεως ἱκανῶς, φησίν, εἴρηκεν ἡ Γραφή, καὶ πρὸς διδασκαλίαν ἀρκεῖ τοῖς ἐξεικονισμένοις τὸ λεχθέν· «ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα «δόξα σαρκὸς ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος «αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα.» Ῥῆμα δέ,

ignis refert ipse truncum, et ramos et folia et exteriorem corticem; omnia enim hæc in magna arbore edaci flamma consumuntur. Fructus autem arboris, ubi rite informatus est, non in ignem, sed in apothecam mittitur: ea enim fructus natura est, ut mittatur in apothecam, palea autem igni tradenda est, stirps, dico, non suimet sed fructus causa nata.

10. Et hoc illud est, ait quod in Scriptura legitur: «Vinea Domini «Sabaoth domus Israel est, et homo Juda germen delectabile.» Si homo Juda germen delectabile est, demonstratum est non aliud esse lignum nisi hominem. Sed satis dixisse de secretione et discretione ejus ait Scripturam, et ut doceatur qui jam informatus est sufficere dictum illud: «Omnis caro «fœnum, et omnis gloria carnis tanquam flos fœni. Exaruit fœnum et flos «ejus decidit; verbum autem Domini manet in æternum.» Hoc Domini ver-

2. τὸν Mill.; τῶν cod. – αὐτῷ Schneid.; αὐτῶν cod. Mill. — 5. ἀπολάβῃ Miller.; ἀπολαύῃ cod. — 6 sqq. Conf. Evang. B. Matth. III, 12; B. Luc. III, 17. — 8. γεγενημένον cod. secunda manu. — 10 sqq. Is. V, 7. — 15 sqq. Conf. B. Petri I, *Epist.* 1, 24: διότι πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου.

φησίν, ἐστὶ [165] Κυρίου τὸ ἐν στόματι γεννώμενον ῥῆμα καὶ λόγος, ἄλλη δὲ χωρίον γενέσεως οὐκ ἔστι.

11. Τοιούτου δὲ ὄντος, ὡς δι' ὀλίγων εἰπεῖν, κατὰ τὸν Σίμωνα τοῦ πυρὸς, καὶ πάντων τῶν ὄντων ὁρατῶν καὶ ἀοράτων, ὡσαύτως ἐνήχων καὶ ἀνήχων, ἀριθμητῶν καὶ ἀναρίθμων, ἐν τῇ Ἀποφάσει τῇ μεγάλῃ καλεῖ τέλειον νοερὸν ἕκαστον τῶν ἀπειράκις ἀπείρως ἐπινοηθῆναι δυναμένων καὶ λαλεῖν καὶ διανοεῖσθαι καὶ ἐνεργεῖν, οὕτως ὡς φησιν Ἐμπεδοκλῆς·

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα [δῖον], ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
καὶ [στοργῇ] στοργὴν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

12. Πάντα γάρ, φησίν, ἐνόμιζε τὰ μέρη τοῦ πυρὸς τὰ ἀόρατα

bum generatum esse dicit sermonem in ore, quippe quum verbo et sermoni alius non sit generationis locus.

11. Talia quum sint, ut paucis dicam, secundum Simonem et ignis et omnia visibilia et invisibilia et similiter quæcumque audiuntur vel non audiuntur et quæ numerantur vel non numerantur, in sua magna Revelatione vocat perfectum intellectum omne quod potest in infinitum infinite et animo comprehendi et loqui et cogitari et agere, ut ait Empedocles;

terra quidem terram vidimus et aqua aquam,
æthere vero æthera divinum, et igne ignem edacem,
et amore amorem et jurgium jurgio exitiali.

12. Omnes enim partes, ut ait, invisibiles ignis existimavit intelligentiæ

2. ἄλλη δὲ Schneidew.; ἀλλ' ἢ cod.; ἄλλο δὲ sive οὗ vel ᾧ ἄλλο Millerus. — 3. ὀλίγον cod. corr. Mill. — 4. ὡσαύτως Schneid.; ὧν αὐτὸς cod. Mill. — 5. ἀνήχων Schneid.; ἤχων cod. Mill. – ἀριθμητῶν καὶ Schneidew.; καὶ ἀριθμητῶν cod. Mill. — 6. τέλειον νοερὸν Schneid.; τελείων νοερῶν cod. Mill. – οὕτως ὡς ἕκαστον cod. Miller. Schneidew.; οὕτως ὡς delenda utpote huc inserta incuria librarii qui bis scripsit quod infra et semel erat scribendum : οὕτως ὥς φησιν Ἐμπεδοκλῆς. — 9 sqq. Cf. Emped. ed. Karst. v. 321. — 10. δῖον om. cod. restit. Millerus. — 11. στοργῇ om. cod. restit. Millerus.

φρόνησιν ἔχειν καὶ νώματος αἶσαν. Γέγονεν οὖν ὁ κόσμος ὁ γεννητὸς ἀπὸ τοῦ ἀγεννήτου πυρός. Ἤρξατο δέ, φησί, γενέσθαι τοῦτον τὸν τρόπον, ἐξ ῥίζας τὰς πρώτας τῆς ἀρχῆς τῆς γεννήσεως λαβὼν ὁ γεννητὸς ἀπὸ τῆς ἀρχῆς τοῦ πυρὸς ἐκείνου · γεγονέναι δὲ τὰς ῥίζας φησὶ κατὰ συζυγίας ἀπὸ τοῦ πυρός, ἄσλινας ῥίζας καλεῖ Νοῦν καὶ Ἐπίνοιαν, Φωνὴν καὶ Ὄνομα, Λογισμὸν καὶ Ἐνθύμησιν · εἶναι δὲ ἐν ταῖς ἐξ ῥίζαις ταύταις πᾶσαν ὁμοῦ τὴν ἀπέραντον δύναμιν δυνάμει, οὐκ ἐνεργείᾳ. Ἥντινα ἀπέραντον δύναμιν φησὶ τὸν ἑσταῶτα, [στάντα,] στησόμενον. Ὃς ἐὰν μὲν ἐξεικονισθῇ, ὢν ἐν ταῖς ἐξ δυνάμεσιν, ἔσται οὐσίᾳ, δυνάμει, μεγέθει, ἀποτελέσματι [166], μία καὶ ἡ αὐτὴ τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει, καὶ οὐδὲν ὅλως ἔχουσα ἐνδεέστερον ἐκείνης τῆς ἀγεννήτου καὶ ἀπαραλλάκτου [καὶ] ἀπεράντου δυνάμεως. Ἐὰν δὲ μείνῃ τῇ δυνάμει μόνον ἐν ταῖς ἐξ δυνάμεσι καὶ μὴ ἐξεικονισθῇ, ἀφανίζεται, φησί, καὶ ἀπόλλυται οὕτως ὡς ἡ δύναμις ἡ γραμματική, ἢ γεωμετρικὴ ἐν ἀνθρώπου ψυχῇ.

et mentis esse consortes. Natus est igitur mundus æternus ab æterno igne. Cœpit autem fieri, ut ait, sex radices primas principii generationis assumens æternus ille mundus ex illius ignis principio. Natas autem affirmat per conjugationes fuisse has radices ex igne, quas quidem radices vocat Mentem et Cogitationem, Vocem et Nomen, Rationem et Conceptionem; inesse autem in istis sex radicibus omnem simul infinitam potestatem, virtute autem sola, non actu; quam quidem infinitam potestatem ait esse illum qui stetit, stat, stabit; qui, si imagine effingatur, in sex illis potestatibus apparebit essentia, virtute, magnitudine, effectu, una etiam (potestas) et similis illi æternæ et infinitæ potestati, neque ullo modo inferior illa æterna et immutabili et infinita potestate. Quod si maneat virtute tantum in sex potestatibus neque imagine effingatur, evanescit, ait, et perit sicut facultas grammaticæ vel geometricæ in hominis animo. Facultas enim adjuta arte

1. γνώμην ἴσην cod. Miller.; νώματος αἶσαν Schn. Cf. infra, l. VII, § 29, et Emped. ed. Karst. v. 313. — 1-2. ὁ γεννητὸς] legitur infra, lib. X, § 12 : ὁ κόσμος ἀγέννητος ἀπὸ τοῦ ἀγεννήτου πυρός. — 2 sqq. Cf. infra, lib. X, § 12, ubi plura ex hoc loco excerpta leguntur. — 9. [στάντα] quod deerat restitui. – Ὡς cod. Millerus. Legendum Ὃς. Conf. infra, lib. X, § 12. — 12. [καὶ] addidi.

Προσλαβοῦσα γὰρ ἡ δύναμις τέχνην, φῶς τῶν γινομένων γίνεται· μὴ προσλαβοῦσα δέ, ἀτεχνία καὶ σκότος, καὶ ὡς ὅτε οὐκ ἦν, ἀποθνήσκοντι τῷ ἀνθρώπῳ συνδιαφθείρεται.

13. Τῶν δὲ ἓξ δυνάμεων τούτων καὶ τῆς ἑβδόμης τῆς μετὰ τῶν ἓξ καλεῖ τὴν πρώτην συζυγίαν, Νοῦν καὶ Ἐπίνοιαν, Οὐρανὸν καὶ Γῆν· καὶ τὸν μὲν ἄρσενα ἄνωθεν ἐπιβλέπειν καὶ προνοεῖν τῆς συζύγου, τὴν δὲ Γῆν ὑποδέχεσθαι κάτω τοὺς ἀπὸ τοῦ Οὐρανοῦ νοεροὺς καταφερομένους τῇ Γῇ συγγενεῖς καρπούς. Διὰ τοῦτο, φησίν, ἀποβλέπων πολλάκις ὁ Λόγος πρὸς τὰ ἐκ Νοὸς καὶ Ἐπινοίας γεγεννημένα, τουτέστιν ἐξ Οὐρανοῦ καὶ Γῆς, λέγει, «ἄκουε, «Οὐρανέ, καὶ ἐνωτίζου, Γῆ, ὅτι Κύριος ἐλάλησεν. Υἱοὺς ἐγέν«νησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.» Ὁ δὲ λέγων ταῦτα, φησίν, ἡ ἑβδόμη δύναμις ἐστὶν [ὁ] ἑστώς, στάς, στησόμενος· αὐτὸς γὰρ αἴτιος τούτων τῶν καλῶν ὧν ἐπῄνεσε Μωσῆς, καὶ εἶπε καλὰ λίαν. Ἡ δὲ Φωνὴ καὶ τὸ Ὄνομα, Ἥλιος καὶ Σελήνη. Ὁ δὲ Λο-

fit lumen omnium rerum; non adjuta vero, imperita et tenebrosa et, velut quum non erat, cum homine moriente perit.

13. Primam istarum potestatum sex et septimæ potestatis conjugationem vocat Mentem et Cogitationem, Cœlum et Terram, et masculum quidem dicit desuper inspicere et providere suæ conjugi; Terram autem accipere a Cœlo delatos spirituales et Terræ affines fructus. Quapropter, ait, aspiciens sæpe Verbum quæ genita sunt ex Mente et Cogitatione, id est e Cœlo et Terra, dicit: Audite, Cœli, et auribus percipe, Terra, quoniam Dominus locutus est: filios enutrivi et exaltavi, ipsi autem spreverunt me. Qui autem hæc dicit, ille est septima potestas, qui stat, stetit, stabit. Ille quidem est auctor omnium bonorum quæ laudavit Moyses, et dixit nimium bona. Vox autem et Nomen, Sol et Luna (secundas conjugationes efficient): Ratio-

2. ὅτι cod. corr. Mill. — 5. Hæ συζυγίαι sic componuntur:

1° Νοῦς καὶ Ἐπίνοια	1° Οὐρανὸς καὶ Γῆ
2° Φωνὴ καὶ Ὄνομα	2° Ἥλιος καὶ Σελήνη
3° Λογισμὸς καὶ Ἐνθύμησις	3° Ἀὴρ καὶ Ὕδωρ.

Νοῦς vero et Ἐπίνοια respondent Οὐρανῷ et Γῇ, Φωνὴ autem et Ὄνομα respondent Ἡλίῳ et Σελήνῃ, etc. — 10. Conf. Is. 1, 2. — 13. addidi [ὁ].

γισμὸς καὶ ἡ Ἐνθύμησις, Ἀὴρ καὶ Ὕδωρ. Ἐν δὲ τούτοις ἅπασιν ἐμμέμικται καὶ κέκραται, ὡς ἔφην, ἡ μεγάλη δύναμις ἡ ἀπέραντος, ὁ ἑσ⟨ὼς.

14. Μωσέως οὖν εἰρηκότος, « Ἓξ ἡμέραις ἐν αἷς ὁ Θεὸς[167] ἐποίησε « τὸν Οὐρανὸν καὶ τὴν Γῆν, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων « τῶν ἔργων αὐτοῦ, » τὸν εἰρημένον τόπον μετοικονομήσας ὁ Σίμων ἑαυτὸν Θεοποιεῖ. Ὅταν οὖν λέγωσιν ὅτι εἰσὶ τρεῖς ἡμέραι πρὸ Ἡλίου καὶ Σελήνης γεγενημέναι, αἰνίσσονται Νοῦν καὶ Ἐπίνοιαν, τουτέσ⟨ιν Οὐρανὸν καὶ Γῆν, καὶ τὴν ἑβδόμην δύναμιν τὴν ἀπέραντον. Αὗται γὰρ αἱ τρεῖς δυνάμεις εἰσὶ πρὸ πασῶν τῶν ἄλλων γενόμεναι. Ὅταν δὲ λέγωσι, « Πρὸ πάντων τῶν αἰώνων γεννᾷ με, » περὶ τῆς ἑβδόμης, φησί, δυνάμεως τὰ τοιαῦτα λέγεται εἶναι. Ἑβδόμη δὲ αὕτη δύναμις ἥτις ἦν δύναμις ὑπάρχουσα ἐν τῇ ἀπεράντῳ δυνάμει ἥτις γέγονε πρὸ πάντων τῶν αἰώνων, αὕτη ἐσ⟨ί, φησίν, ἡ ἑβδόμη δύναμις, περὶ ἧς λέγει Μωσῆς· « Καὶ πνεῦμα « Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· » τουτέσ⟨ι, φησί, τὸ πνεῦμα τὸ πάντα ἔχον ἐν ἑαυτῷ, εἰκὼν τῆς ἀπεράντου δυνάμεως, περὶ ἧς ὁ

cinatio et Meditatio, Aer et Aqua (tertias conjugationes): et istis omnibus immixta et inserta est, ut dixi, illa summa et infinita potestas, scilicet ille qui stat.

14. Quum ergo Moyses dixerit, « Diebus sex Deus fecit Cœlum et Terram et « septimo die cessavit ab omnibus operibus suis, » Simon, hæc dicta memorato modo dilfingens, sese deum efficit. Quum igitur dicunt tres dies fuisse ante Solis et Lunæ creationem, affirmat designari Mentem et Cogitationem, id est Cœlum et Terram atque infinitam septimam potestatem. Hæ tres enim potestates natæ sunt ante omnes alias. Quando autem dicunt, « Ante omnia sæcula « gignit me, » hæc de septima potestate dici affirmat. Septima autem illa potestas quæ manebat in ea infinita potestate quæ nata est ante omnia sæcula, hæc eadem septima potestas est, ut ait, de qua dicit Moyses : « Et spiritus Dei « ferebatur super aquas. » Id est, ait, spiritus omnia in semetipso habens et imago infinitæ potestatis de qua Simon dicit : Imago speciei sempiternæ,

4-6. Conf. *Gen.* II, 2. — 11. Conf. *Lib. Ecclesiasticum*, XXIV, 14; *Prov.* VIII, 22. — 15-16. *Gen.* I, 2. — 17. πάντα ἔχειν ἐν ἑαυτῷ cod. corr. Mill.

Σίμων λέγει· « εἰκὼν ἐξ ἀφθάρτου μορφῆς, κοσμοῦσα μόνη πάντα. » Αὕτη γὰρ ἡ δύναμις ἡ ἐπιφερομένη ἐπάνω τοῦ ὕδατος ἐξ ἀφθάρτου, φησί, γεγενημένη μορφῆς, κοσμεῖ μόνη πάντα. Τοιαύτης οὖν τινὸς καὶ παραπλησίου τῆς κατασκευῆς τοῦ κόσμου γενομένης παρ' αὐτοῖς, ἔπλασε, φησίν, ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών· ἔπλασε δὲ οὐχ ἁπλοῦν, ἀλλὰ διπλοῦν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. Εἰκὼν δέ ἐστι τὸ πνεῦμα τὸ ἐπιφερόμενον ἐπάνω τοῦ ὕδατος, ὃ ἐὰν μὴ ἐξεικονισθῇ μετὰ τοῦ κόσμου ἀπολεῖται, δυνάμει μεῖναν μόνον καὶ μὴ ἐνεργείᾳ γενόμενον. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον, « Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. » Ἐὰν δὲ ἐξεικονισθῇ καὶ γένηται, ἀπὸ σιγμῆς ἀμερίστου, ὡς γέγραπται ἐν τῇ (168) Ἀποφάσει, τὸ μικρὸν μέγα γενήσεται. Τὸ δὲ μέγα ἔσται εἰς τὸν ἄπειρον αἰῶνα καὶ ἀπαράλλακτον, τὸ μηκέτι γινόμενον. Πῶς οὖν καὶ τίνα τρόπον, φησί, πλάσσει τὸν ἄνθρωπον ὁ Θεὸς ἐν παραδείσῳ; οὕτως γὰρ αὐτῷ δοκεῖ. Ἔστω, φησί, παράδεισος ἡ μήτρα, καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς ἡ Γραφὴ διδάξει ὅτε λέγει· « Ἐγώ εἰμι ὁ « πλάσσων σε ἐν μήτρᾳ μητρός σου. » Καὶ τοῦτο γὰρ οὕτω θέλει γε-

sola ordinans omnia. Istam enim potestatem quæ ferebatur super aquas e sempiterna specie natam dicit solam ordinare omnia. Tali igitur et suppari creatione mundi facta apud eos, Deus, ut Simon ait, creavit hominem pulverem e terra assumens. Illum autem fecit non simplicem sed duplicem secundum imaginem et similitudinem. Est autem imago spiritus qui ferebatur super aquas et qui, si in imaginem non affingatur, necesse est ut cum mundo pereat; virtute sola existit et non actu manifestatur. Quod quidem indicari dicit his verbis: « Ne cum mundo damnemur. » Si vero imagine effingatur et exoriatur, ab indivisibili puncto, sicut scriptum est in Revelatione, quod minimum est magnum evadet. Magnum autem erit in sæculum infinitum et immutabile, quod non amplius fit. Qui igitur et quo modo, ait, creat hominem Deus in paradiso? ita enim ei placet. Esto, ait, paradisus matrix, et hoc esse verum Scriptura docebit quando dicit: « Ego sum formans « te in utero matris tuæ. » Et illud hoc quidem modo vult scriptum fuisse.

5-7. Conf. *Gen.* II, 7 seq. — 7. τοῦ ἐπιφερομένου cod. — 10. B. Paul. I ad Corinth. XI, 32. — 13. ἀπαράλακτον cod. — 14. πλάσεις cod. corr. Millerus. — 17. πλάσων cod.

γράφθαι· τὸν παράδεισον, φησίν, ἀλληγορῶν ὁ Μωσῆς, τὴν μήτραν εἴρηκεν, εἴπερ δεῖ τῷ λόγῳ πιστεύειν. Εἰ δὲ πλάσσει ὁ Θεὸς ἐν μήτρᾳ μητρὸς τὸν ἄνθρωπον, τουτέστιν ἐν παραδείσῳ, ὡς ἔφην, ἔστω παράδεισος ἡ μήτρα, Ἐδὲμ δὲ τὸ χόριον· «Ποταμὸς ἐκπο-
5 «ρευόμενος ἐξ Ἐδὲμ ποτίζει τὸν παράδεισον,» ὁ ὀμφαλός· οὗτος, φησίν, ἀφορίζεται ὁ ὀμφαλὸς εἰς τέσσαρας ἀρχάς· ἑκατέρωθεν γὰρ τοῦ ὀμφαλοῦ δύο εἰσὶν ἀρτηρίαι παρατεταγμέναι, ὀχετοὶ πνεύματος, καὶ δύο φλέβες ὀχετοὶ αἵματος. Ἐπειδὰν δέ, φησίν, ἀπὸ τοῦ Ἐδὲμ χορίου ἐκπορευόμενος ὁ ὀμφαλὸς ἐμφυῇ τῷ γενομένῳ κατὰ τὸ
10 ἐπιγάστριον ὃ κοινῶς πάντες προσαγορεύουσιν ὀμφαλόν· αἵδε δύο φλέβες, δι' ὧν ῥεῖ καὶ φέρεται ἀπὸ τοῦ Ἐδὲμ τοῦ χορίου τὸ αἷμα κατὰ τὰς καλουμένας πύλας τοῦ ἥπατος, αἵτινες τὸ γεννώμενον τρέφουσιν· αἱ δὲ ἀρτηρίαι, ἃς ἔφημεν ὀχετοὺς εἶναι πνεύματος, ἑκατέρωθεν μεταλαβοῦσαι τὴν κύστιν κατὰ τὸ πλατὺ ὀστοῦν, πρὸς τὴν
15 μεγάλην συνάπτουσιν ἀρτηρίαν τὴν κατὰ ῥάχιν καλουμένην ἀορτήν, καὶ οὕτως διὰ τῶν παραθύρων ἐπὶ τὴν καρδίαν ὁδεῦσαν τὸ πνεῦμα,

Moyses, ut ait, per allegoriam locutus vocavit paradisum matricem si quidem verbo fides habenda sit. Si autem Deus format hominem in matrice matris, id est in paradiso, ut dixi, esto paradisus matrix et sint secundæ Eden. «Et fluvius egrediebatur ex Eden ad irrigandum paradisum;» fluvius iste umbilicus est : umbilicus sese dividit in quatuor principia. Nam ab utraque umbilici parte duæ arteriæ positæ sunt, canales spiritus, et duæ venæ canales sanguinis. Quando autem, ut dicit, ex secundis Eden egressa vasa umbilica inhærescunt infanti propter epigastrium, quod vulgo omnes vocant umbilicum, hæ duæ venæ, per quas manat et fertur sanguis ex secundis Eden usque ad portas jecoris, infantem alunt. Arteriæ vero, quas diximus canales esse spiritus, quum ex utraque parte adhæserint vesicæ circa magnum os, conveniunt ad magnam arteriam quæ propter spinam sita aorta vocatur, eaque via per portas in cor effluens spiritus, motum

4. χωρίον cod. Mill. Quod hic sensu caret. Lege χόριον. — 5. ποτίζειν cod. corr. Mill. — 9. χωρίου cod. Millerus. — 10. ἐπιγάστριον ὃν cod. Hic nonnulla excidisse putat Mill. Nihil crediderim excidisse, sed ὃν pro ὃ scriptum fuisse. — 11. χωρίου cod. Mill. — 13. Mirati quod arteriæ post mortem vacuæ essent censebant veteres venas esse canales sanguinis, arterias autem spiritus. — 14. λαβοῦσαι μὲν delendum esse suspicatur Miller. vel συλλαβοῦσαι legend. μεταλαβοῦσαι Scott.

κίνησιν ἐργάζεται τῶν ἐμβρύων. Πλατύνομενον γὰρ τὸ βρέφος ἐν τῷ παραδείσῳ, οὔτε τῷ στόματι τροφὴν [169] λαμβάνει, οὔτε ταῖς ῥισὶν ἀναπνέει· ἐν ὑγροῖς γὰρ ὑπάρχοντι αὐτῷ παρὰ πόδας ἦν ὁ θάνατος εἰ ἀνέπνευσεν· ἐπεσπάσατο γὰρ ἂν ἀπὸ τῶν ὑγρῶν καὶ ἐφθάρη. Ἀλλὰ γὰρ ὅλον περιέσφιγκται τῷ καλουμένῳ χιτῶνι ἀμνίῳ, τρέφεται δὲ δι' ὀμφαλοῦ, καὶ διὰ τῆς [ἀορτῆς τῆς] κατὰ ῥάχιν, ὡς ἔφην, τὴν τοῦ πνεύματος οὐσίαν λαμβάνει.

15. Ὁ οὖν ποταμός, φησίν, ὁ ἐκπορευόμενος ἐξ Ἐδὲμ εἰς τέσσαρας ἀφορίζεται ἀρχάς, ἤγουν τέσσαρας, τουτέστιν εἰς τέσσαρας αἰσθήσεις τοῦ γεννωμένου, ὅρασιν, ὄσφρησιν, γεῦσιν καὶ ἀφήν· ταύτας γὰρ ἔχει μόνας τὰς αἰσθήσεις ἐν τῷ παραδείσῳ πλασσόμενον τὸ παιδίον. Οὗτος, φησίν, ἐστὶν ὁ νόμος ὃν ἔθηκε Μωσῆς, καὶ πρὸς τοῦτον αὐτὸν τὸν νόμον γέγραπται τῶν βιβλίων ἕκαστον, ὡς [αἱ] ἐπιγραφαὶ δηλοῦσι. Τὸ πρῶτον βιβλίον, Γένεσις· ἤρκει, φησί, πρὸς γνῶσιν τῶν ὅλων ἡ ἐπιγραφὴ τοῦ βιβλίου. Αὕτη γάρ, φησίν, ἐστὶν ἡ γένεσις, ὅρασις εἰς ἣν ἀφορίζεται ποταμοῦ σχίσις ἡ μία· ἐθεάθη

efficit fœtus. Formatus enim fœtus in paradiso nec ore alimenta sumit neque naribus respirat. In humidis enim quum maneat, prompta foret mors, si respirasset; nam in sese attraheret ex humidis et periret. Atqui totus circumcinctus est tunica quæ vocatur *amnium* (membrana involvens fœtum); et per umbilicum nutritur et per magnam arteriam juxta spinam, ut dixi, vitam spiritus excipit.

15. Fluvius autem, dicit, ex Eden egressus partitur in quatuor principia, vel quatuor canales, hoc est quatuor sensus nascentis, scilicet visum, odoratum, gustum et tactum. Infans enim, quum formatur in paradiso, hos solos sensus habet. Hæc, ait, est lex quam posuit Moyses et secundum hanc ipsam legem scriptus est unusquisque librorum, ut inscriptiones demonstrant. Liber primus, *Genesis*, quæ quidem libri inscriptio, ut ait, sufficiebat ad universarum rerum cognitionem. Illa autem Genesis, ait, est visus ad quem pertinet una divisio fluvii; visu enim conspectus est mundus.

6. Restitui [ἀορτῆς τῆς] quæ exciderant. — 10. Post ὅρασιν cod. habet ἀκοὴν quod delendum Millerus recte censet, ut ex sequentibus liquido apparet. — 13. [αἱ] addidi.

γὰρ ὁ κόσμος ἐν ὁράσει. Ἐπιγραφὴ βιβλίου δευτέρου Ἔξοδος. Ἔδει γὰρ τὸ γεννηθέν, τὴν Ἐρυθρὰν διοδεῦσαν θάλασσαν, ἐλθεῖν ἐπὶ τὴν ἔρημον, (ἐρυθρὰν δὲ λέγει, φασί, τὸ αἷμα,) καὶ γεύσασθαι πικρὸν ὕδωρ. Πικρὸν γάρ, φησίν, ἐστὶ τὸ ὕδωρ τὸ μετὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὅπερ ἐστὶν ὁδὸς τῆς κατὰ τὸν βίον γνώσεως, [διὰ] τῶν ἐπιπόνων ὁδευομένη καὶ πικρῶν. Στραφὲν δὲ ὑπὸ Μωσέως, τουτέστι τοῦ Λόγου, τὸ πικρὸν ἐκεῖνο γίνεται γλυκύ. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, κοινῇ πάντων ἐστὶν ἀκοῦσαι κατὰ τοὺς ποιητὰς λεγόντων·

> Ῥίζῃ μὲν μέλαν [ἔσκε], γάλακτι δὲ εἶκελον ἄνθος·
> (170) μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ' ὀρύσσειν
> ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.

16. Ἀρκεῖ, φησί, [τὸ] λεχθὲν ὑπὸ τῶν ἐθνῶν πρὸς ἐπίγνωσιν τῶν ὅλων τοῖς ἔχουσιν ἀκοὰς [τυγχάνειν ἀ]κοῆς· τούτου γάρ, φησίν, ὁ γευσάμενος τοῦ καρποῦ ὑπὸ τῆς Κίρκης οὐκ ἀπεθηριώθη μόνος, ἀλλὰ καὶ τοὺς ἤδη τεθηριωμένους, τῇ δυνάμει χρώμενος τοῦ

Inscriptio secundi libri *Exodus*. Oportebat natum, postquam Rubrum transivisset mare, venire in solitudinem, (Rubrum mare vocant sanguinem, ut ait Simon,) et gustare aquam amaram. Amaram aquam trans mare Rubrum dicit esse viam cognitionis vitæ per dura transeuntem et per amara. Mutata autem a Moyse, id est a Verbo, amara aqua fit dulcis, et quod ista ita sese habeant, communiter ab omnibus audiri potest qui dicunt secundum poetas:

> Radice quidem nigrum (erat), lacti autem similis flos;
> moly vero ipsum vocant dii, difficileque est effossu
> viris utique mortalibus; dii autem omnia possunt.

16. Sufficit, ait, ad cognitionem omnium rerum, quod quidem dictum est a gentibus ad eos qui aures habent ut audiant; qui gustavit enim hunc fructum non versus est in belluam a Circe, sed etiam eos qui jam belluæ

1. Αὖ γραφὴ cod.; Αὖ ἐπιγραφὴ Mill. — 5. [διὰ] addidi quod prorsus exciderat. — 6. πικρόν cod. corr. Millerus. — 10. Hom. *Od.* x, 304 sqq. ἔσκε quod deerat restituit Mill. — 12. δύνανταί τε cod. — 13. [τὸ] addidit Mill. — 14. Post ἀκοὰς lacuna est in cod. quam explevi. ἀκοὰς ὑπακοῆς conj. Mill.

τοιούτου καρποῦ, εἰς τὸν πρῶτον ἐκεῖνον τὸν ἴδιον αὐτῶν ἀνέπλασε καὶ ἀνετύπωσε καὶ ἀνεκαλέσατο χαρακτῆρα. Πιστὸς δὲ ἀνὴρ καὶ ἀγαπώμενος ὑπὸ τῆς Φαρμακίδος ἐκείνης, διὰ τὸν γαλακτώδη καὶ Θεῖον ἐκεῖνον καρπόν, φησίν, εὑρίσκεται. Λευϊτικὸν ὁμοίως τὸ τρίτον βιβλίον, ὅπερ ἐστὶν ἡ ὄσφρησις [ἢ] ἀναπνοή. Θυσιῶν γάρ ἐστι καὶ προσφορῶν ὅλον ἐκεῖνο τὸ βιβλίον. Ὅπου δέ ἐστι Θυσία, ὀσμή τις εὐωδίας ἀπὸ τῆς Θυσίας διὰ τῶν Θυμιαμάτων γίνεται· περὶ ἣν εὐωδίαν ὄσφρησιν εἶναι δ[εῖ κριτή]ριον. Ἀριθμοὶ τὸ τέταρτον τῶν βιβλίων γεῦσιν λέγει ὅπου λόγος ἐνεργεῖ. Διὰ γὰρ τοῦ λαλεῖν πάντα ἀριθμοῦ τάξει καλεῖται. Δευτερονόμιον δέ, φησίν, ἐστὶ πρὸς τὴν ἁφὴν τοῦ πεπλασμένου παιδίου γεγραμμένον. Ὥσπερ γὰρ ἡ ἁφὴ τὰ ὑπὸ τῶν ἄλλων αἰσθήσεων ὁραθέντα Θιγοῦσα ἀνακεφαλαιοῦται καὶ βεβαιοῖ, σκληρὸν ἢ Θερμὸν ἢ γλίσχρον [ἢ ψυχρὸν] δοκιμάσασα, οὕτως τὸ πέμπτον βιβλίον τοῦ νόμου, ἀνακεφαλαίωσις ἐστὶ τῶν πρὸ αὐτοῦ γραφέντων τεσσάρων. Πάντα οὖν, φησί, τὰ ἀγέννητα ἐστὶν ἐν ἡμῖν δυνάμει, οὐκ ἐνεργείᾳ, ὡς ἡ γραμματική, ἡ γεωμετρική. Ἐὰν οὖν τύχῃ τοῦ λόγου τοῦ προσήκοντος καὶ διδα-

effecti erant, per virtutem hujusce fructus, in pristinam et propriam eorum naturam restituit et refinxit et revocavit. Per hunc lacteum et divinum fructum, ait, invenitur fidelis vir et a saga illa dilectus est. Similiter et tertius liber, qui inscribitur *Leviticus*, odoratui vel respirationi respondet. Totus enim est de sacrificiis et oblationibus hic liber. Ubi autem est sacrificium, odor fragantiæ fit per suffimenta sacrificii et odoratus est qui judicium habet de hac fragrantia. Quartus liber *Numeri* inscribitur et respondet gustui ubi sermo operatur; nam quia hic liber omnia loquitur in numeri ordine, sic vocatur. *Deuteronomium* autem, ait, est ad tactum infantis creati scriptum. Nam quemadmodum tactus postquam tetigit quæ a sensibus aliis visa sunt, ea resumit et pro certis affirmat, vel durum, vel calidum, vel lubricum expertus, ita liber quintus compendium quatuor præcedentium est. Omnia igitur, ait, æterna, in nobis insunt virtute non actu, quasi grammatica vel geometria. Si conveniens sermo et doctrina adsint, et ama-

1. *ἀνέπλασε* Mill.; *ἐνέπλασε* cod. — 5. Fort. *ἡ ὄσφρησις καὶ* (sive *ἢ*) *ἀναπνοή* Mill. — 8. Mill. legit *δοκιμασ]ήριον* sed verbo caret sententia. Lege *δεῖ κριτήριον*. — 9. Post *λέγει* quædam videntur deesse. — 13. [*ἢ ψυχρὸν*] addendum. Vide infr. 273, 4.

σκαλίας, καὶ σ]ραφήσεται τὸ πικρὸν εἰς γλυκύ [171], τουτέσ]ιν αἱ ζιβύναι εἰς δρέπανα καὶ αἱ μάχαιραι εἰς ἄροτρα, οὐκ ἔσ]αι ἄχυρα καὶ ξύλα τὰ γεννώμενα πυρί, ἀλλὰ καρπὸς τέλειος ἐξεικονισμένος, ὡς ἔφην, ἴσος καὶ ὅμοιος τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει. Ἐὰν δὲ μείνῃ δένδρον μόνον, καρπὸν μὴ ποιοῦν ἐξεικονισμένον, ἀφανίζεται. Ἐγγὺς γάρ που, φησίν, ἡ ἀξίνη παρὰ τὰς ῥίζας τοῦ δένδρου· πᾶν δένδρον, φησί, μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπ]εται καὶ εἰς πῦρ βάλλεται.

17. Ἔσ]ιν οὖν κατὰ τὸν Σίμωνα τὸ μακάριον καὶ ἄφθαρτον ἐκεῖνο ἐν παντὶ κεκρυμμένον, δυνάμει, οὐκ ἐνεργείᾳ, ὅπερ ἐσ]ὶν ὁ ἑσ]ώς, σ]ὰς, σ]ησόμενος, ἑσ]ὼς ἄνω, ἐν τῇ ἀγεννήτῳ δυνάμει, σ]ὰς κάτω, ἐν τῇ ῥοῇ τῶν ὑδάτων ἐν εἰκόνι γεννηθείς, σ]ησόμενος ἄνω, παρὰ τὴν μακαρίαν ἀπέραντον δύναμιν ἐὰν ἐξεικονισθῇ. Τρεῖς γάρ, φησίν, εἰσὶν ἑσ]ῶτες, καὶ ἄνευ τοῦ τρεῖς εἶναι ἑσ]ῶτας Αἰῶνας, οὐ κοσμεῖται ὁ

rum convertetur in dulce, id est jacula in falces et enses in aratra, non evenient paleæ et ligna in ignem mittenda, sed fructus perfectus qui veluti typus appareat, sicut dixi, et similis potestati æternæ et infinitæ. Quod si arbor maneat sola, nec faciat fructum quasi typum apparentem, destruetur. Prope enim ait, adstat securis ad radices arboris. Omnis arbor, ait, non faciens fructum bonum cæditur et in ignem mittitur.

17. Illud igitur, secundum Simonem, quod est beatum et incorruptibile inest absconditum in omni re, virtute sola, non actu, quod est ille qui stetit, stat, stabit, qui stetit supra in increata potestate, qui stat infra in fluctu aquarum per imaginem generatus, qui stabit supra apud beatam æternam potestatem si imagine effingatur. Tres enim, ait, sunt qui steterunt, et nisi essent tres Æones qui steterunt, non ordinaretur increatus ille qui, secundum

1. Legendum esset *σ]ράφηται*. Sed quum noster sæpe utatur et subjunctivo et futuro tempore cum *ἵνα* et aliquando his diversis temporibus in eadem sententia, eum suspicor hac licentia usum esse cum *ἐάν*. — 2. Cf. Isaiam, II, 4. — 6. Conf. B. Matth. III, 10; B. Luc. III, 9. — 11. Legimus in B. Clementis *Recognit.* (l. II, § 7) : «Simon... jactantiæ et gloriæ cupidus ita ut excelsam virtutem quæ supra «creatorem Deum sit credi se velit et «Christum putari atque Stantem nomi«nari. Hac autem appellatione utitur «quasi qui neget posse se aliquando dis«solvi, asserens carnem suam ita divini«tatis suæ virtute compactam, ut possit «in æternum durare; hinc ergo Stans «appellatur, tanquam qui non possit ulla «corruptione decidere.»

ἀγέννητος ὁ κατ' αὐτοὺς ἐπὶ τοῦ ὕδατος φερόμενος, ὁ καθ' ὁμοίωσιν ἀναπεπλασμένος τέλειος ἐπ[ουράνιος], κατὰ δὲ μίαν ἐπίνοιαν ἐνδεέσ|τερος τῆς ἀγεννήτου δυνάμεως γενόμενος. Τουτέσ|τιν ὃ λέγουσιν· Ἐγὼ καὶ σύ, ἓν πρὸ ἐμοῦ σύ, τὸ μετὰ σέ, ἐγώ. Αὕτη, φησίν, ἐσ|τὶ δύναμις μία, διηρημένη ἄνω, κάτω, αὑτὴν γεννῶσα, αὑτὴν αὔξουσα, αὑτὴν ζητοῦσα, αὑτὴν εὑρίσκουσα, αὑτῆς μήτηρ οὖσα, αὑτῆς πατήρ, αὑτῆς ἀδελφή, αὑτῆς σύζυγος, αὑτῆς θυγάτηρ, αὑτῆς υἱός, μήτηρ, πατήρ, ἓν οὖσα ῥίζα τῶν ὅλων. Καὶ ὅτι, φησίν, ἀπὸ πυρὸς ἡ ἀρχὴ τῆς γενέσεως ἐσ|τὶ τῶν γεννωμένων, τοιοῦτον κατανόει τινὰ τρόπον. Πάντων ὅσων γένεσίς ἐσ|τιν, ἀπὸ πυρὸς ἡ ἀρχὴ τῆς ἐπιθυμίας τῆς γενέσεως γίνεται. Τοιγαροῦν, πυροῦσθαι τὸ [172] ἐπιθυμεῖν τῆς μεταβλητῆς γενέσεως ὀνομάζεται. Ἓν δὲ ὂν τὸ πῦρ σ|τροφὰς σ|τρέφεται δύο· σ|τρέφεται γάρ, φησίν, ἐν τῷ ἀνδρὶ τὸ αἷμα, καὶ θερμόν, καὶ ξανθόν, ὡς πῦρ τυπούμενον, εἰς σπέρμα· ἐν δὲ τῇ γυναικί, τὸ αὐτὸ τοῦτο αἷμα εἰς γάλα. Καὶ γίνεται ἡ τοῦ ἄῤῥενος τροπή, γένεσις· ἡ

eos, fertur super aquas, ad imaginem (entis æterni) formatus perfectus et cœlestis, sola autem cogitatione inferior illa increata potestate. Quod quidem est quod dicunt: Ego et tu, unum ante me tu es, post te ego sum. Illa, inquit, est potestas una, partita supra et infra, seipsam gignens, seipsam augens, seipsam quærens, seipsam inveniens, suiipsius mater, suiipsius pater, suiipsius soror, suiipsius conjux, suiipsius filia, suiipsius filius, mater, pater, unum, constituta radix universarum rerum. Et quod, ait, ex igne principium generationis omnium generatorum eveniat, talem fere cogita generationis modum. Omnium rerum quarum generatio est, principium concupiscentiæ generationis fit illis ex igne : itaque concupiscere generationem vocatur ignescere. Ignis quum sit unum, vertitur secundum conversiones duas; vertitur igitur, ait, in homine sanguis et calidus et flavus, quasi ignis figuratus, in semen; in femina autem sanguis idem vertitur in lac; et mutatus ille sanguis masculi fit principium generationis, in femina fit alimentum infanti

2. *ουράνιος* supp. Mill. — 3. *λέγουσιν ἐγὼ* cod. Mill. — 4. *τῷ μετὰ* cod. — 8. *ἐνοῦσα* cod.; *ἓν οὖσα* Mill. — 10. *ἐσ|τιν ἀπὸ πυρὸς* Mill. — 12-13. *ἐνδέον τὸ πῦρ τροφὰς τρεφεται· διὸ.....* cod. Millerus conj.: *ἐνθέον δὲ τὸ πῦρ σ|τροφῇ τρέφεται δᾳδός· σ|τρέφεται γὰρ...* Cf. infra, l. VII, § 17, ubi *ἐνδέον* in cod. leg. pro *ἓν δὲ ὄν*.

δὲ τῆς Ἑλλείας τροπή, τροφὴ τῷ γεννωμένῳ. Αὕτη, φησίν, ἐστὶν ἡ φλογίνη ῥομφαία ἡ στρεφομένη φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Στρέφεται γὰρ τὸ αἷμα εἰς σπέρμα καὶ γάλα, καὶ γίνεται ἡ δύναμις αὕτη μήτηρ καὶ πατὴρ τῶν γινομένων, καὶ αὔξησις τῶν τρεφομένων, ἀπροσδεής, αὐτάρκης. Φυλάσσεται δέ, φησί, τὸ ξύλον τῆς ζωῆς διὰ τῆς στρεφομένης φλογίνης ῥομφαίας, ὡς εἰρήκαμεν, ἡ δύναμις ἡ ἑβδόμη ἡ ἐξ αὐτῆς, ἡ πάντα ἔχουσα, ἡ ἐν ταῖς ἓξ κατακειμένη δυνάμεσιν. Ἐὰν γὰρ μὴ στρέφηται ἡ φλογίνη ῥομφαία, φθαρήσεται καὶ ἀπολεῖται τὸ καλὸν ἐκεῖνο ξύλον. Ἐὰν δὲ στρέφηται εἰς σπέρμα καὶ γάλα ὁ δυνάμει ἐν τούτοις κατακείμενος λόγος τοῦ προσήκοντος ὢν τόπου κύριος, ἐν ᾧ γεννᾶται λόγος ψυχῶν, ἀρξάμενος ἀπὸ σπινθῆρος ἐλαχίστου, παντελῶς μεγαλυνθήσεται καὶ αὐξήσει, καὶ ἔσται δύναμις ἀπέραντος, ἀπαράλλακτος αἰῶνι ἀπαραλλάκτῳ μηκέτι γινομένῳ εἰς τὸν ἀπέραντον αἰῶνα.

18. Γέγονεν οὖν ὁμολογουμένως κατὰ τοῦτον τὸν λόγον τοῖς ἀνοήτοις Σίμων θεός, ὥσπερ ὁ Λίβυς ἐκεῖνος ὁ καὶ Ἄψεθος, γεν-

nato. Quæ quidem conversio sanguinis, ut ait, est gladius flammeus ille versatilis ad custodiendam viam arboris vitæ. Vertitur enim sanguis in semen et lac, et fit potestas illa mater et pater natorum, alimentum crescentium, non indigens et sibi sufficiens. Custoditur, ait, lignum vitæ gladio flammeo versatili, ut diximus, et potestas illa septima ex illo est, quæ omnia continet et in sex potestatibus inest. Nam, si non vertetur gladius iste flammeus, pulchrum illud lignum destruetur et peribit. Si autem vertetur in semen et lac ratio illa quæ virtute residet in istis et occupat locum proprium, ubi nascitur ratio animarum, initium habens a minima scintilla, amplificabitur et augebitur et erit potestas infinita, immutabilis in sæculo immutabili quod non amplius fit per infinitum sæculum.

18. Secundum hunc sermonem congruenter dementibus factus est Simon deus similis illi Apsetho e Lybia, genitus et passibilis, quum maneat vir-

1. τροφὴ Mill.; τρυφὴ cod. — 1-2. Cf. *Gen.* III, 24. — 4. πατὴρ πατρὸς cod. πατρὸς delendum natum ex compendio præcedentis vocabuli. — 7. πάντας cod. — 8. στρέφεται cod. — 11. καὶ τόπου κυρίου, ἐν cod.; susp. Mill. τοῦ προσήκοντος ὢν τόπου κύριος ἐν. — 12. ἀρξάμενος ὤν, cod. Delendum ὤν quod librarius supra omisit et in hunc locum incaute transtulit.

νητὸς μὲν καὶ ϖαθητός, ὅταν ᾖ ἐν δυνάμει, ἀπαθὴς [δὲ ἐκ ϖαθητοῦ καὶ ἀγέννητος] ἐκ γεννητοῦ, ὅταν ἐξεικονισθῇ καὶ γενόμενος (173) τέλειος ἐξέλθῃ τῶν δυνάμεων τῶν ϖρώτων δύο, τουτέσ|ιν Οὐρανοῦ καὶ Γῆς. Λέγει γὰρ Σίμων διαῤῥήδην ϖερὶ τούτου ἐν τῇ Ἀποφάσει οὕτως· Ὑμῖν οὖν λέγω ἃ λέγω, καὶ γράφω ἃ γράφω. Τὸ γράμμα τοῦτο· δύο εἰσὶ ϖαραφυάδες τῶν ὅλων Αἰώνων, μήτε ἀρχὴν μήτε ϖέρας ἔχουσαι, ἀπὸ μιᾶς ῥίζης, ἥτις ἐσ|ὶ δύναμις, σιγή, ἀόρατος, ἀκατάληπ|ος· ὧν ἡ μία φαίνεται ἄνωθεν, ἥτις ἐσ|ὶ μεγάλη δύναμις, νοῦς τῶν ὅλων, διέπων τὰ ϖάντα, ἄρσην· ἡ δὲ ἑτέρα, κάτωθεν, Ἐπίνοια μεγάλη, Θήλεια, γεννῶσα τὰ ϖάντα. Ἔνθεν ἀλλήλοις ἀντισ|οιχοῦντες, συζυγίαν ἔχουσι, καὶ τὸ μέσον διάσ|ημα ἐμφαίνουσιν, ἀέρα ἀκατάληπ|ον, μήτε ἀρχὴν μήτε ϖέρας ἔχοντα. Ἐν δὲ τούτῳ ϖατὴρ ὁ βασ|άζων ϖάντα καὶ τρέφων τὰ ἀρχὴν καὶ ϖέρας ἔχοντα. Οὗτος ἐσ|ὶν ὁ ἑσ|ώς, σ|άς, σ|ησόμενος, ὢν ἀρσενόθηλυς δύναμις κατὰ τὴν ϖροϋπάρχουσαν δύναμιν ἀπέραντον, ἥτις οὔτ' ἀρχὴν οὔτε ϖέρας ἔχει, ἐν μονότητι οὖσα· ἀπὸ γὰρ ταύτης ϖροελθοῦσα ἡ ἐν μονότητι Ἐπίνοια ἐγένετο δύο. Κἀκεῖνος ἦν

tute, impassibilis autem ex passibili et increatus ex genito quum imagine effingatur quumque perfectus procedat ex duabus primis potestatibus, id est, e Cœlo et Terra. De hoc enim dixit Simon in Revelatione his ipsis verbis: Vobis igitur dico quæ dico et scribo quæ scribo. Scriptum hoc est: duæ sunt stirpes omnium Æonum, nec initium nec finem habentes, ab una radice, quæ est potestas, videlicet Silentium, quæ quidem invisibilis, incomprehensibilis. Ex istis duobus stirpibus una apparet supra, quæ est magna potestas, intelligentia universorum, administrans omnia et ipsa mascula; altera vero, infra, Cogitatio magna, feminea, gignens omnia. Inde ambæ sibi invicem respondentes conjugationem efficiunt et medium intervallum manifestant, æthera incomprehensibilem nec initium nec finem habentem. In hoc autem pater est qui omnia sustinet et nutrit ea quæ nec initium nec finem habent. Ille est qui stetit, stat, stabit, potestas mascula et feminea respondens potestati ante existenti et infinitæ, quæ nec initium nec finem habet, in unitate manens. Cogitatio enim quæ est in unitate ex illa egressa facta est

1. ὅτε ἂν cod. — 1-2. Uncis inclusa restitui, quæ prorsus exciderant. — 13. ϖατὴρ ὁ βασ|άζων ϖάντα καὶ τρέφοντα cod. corr. Mill. — 16. οὖσαν cod. Mill.

εἷς· ἔχων γὰρ ἐν ἑαυτῷ αὐτήν, ἣν μόνος, οὐ μέντοι πρῶτος, καίπερ προϋπάρχων, φανεὶς δὲ αὐτὸς ἀπὸ ἑαυτοῦ, ἐγένετο δεύτερος. Ἀλλ' οὐδὲ πατὴρ ἐκλήθη, πρὶν αὐτὴ αὐτὸν ὀνομάσειε πατέρα. Ὡς οὖν αὐτὸς ἑαυτὸν ὑπὸ ἑαυτοῦ προαγαγὼν ἐφανέρωσεν ἑαυτῷ τὴν ἰδίαν ἐπίνοιαν, οὕτως καὶ ἡ φανεῖσα ἐπίνοια οὐκ ἐποίησεν, ἀλλὰ ἰδοῦσα αὐτόν, ἐνέκρυψε τὸν πατέρα ἐν ἑαυτῇ, τουτέστι τὴν Δύναμιν, καὶ ἔστιν ἀρσενόθηλυς Δύναμις καὶ Ἐπίνοια, ὅθεν ἀλλήλοις ἀντιστοιχοῦσιν· οὐδὲν γὰρ διαφέρει Δύναμις Ἐπινοίας, ἓν ὄντες. Ἐκ μὲν τῶν ἄνω εὑρίσκεται[174] Δύναμις, ἐκ δὲ τῶν κάτω Ἐπίνοια. Ἔστιν οὖν οὕτως καὶ τὸ φανὲν ἀπ' αὐτῶν ἓν ὂν δύο εὑρίσκεσθαι, ἀρσενόθηλυς ἔχων τὴν Θήλειαν ἐν ἑαυτῷ. Οὗτος ἐστὶ Νοῦς ἐν Ἐπινοίᾳ· ἀχώριστοι [δ'] ἀπ' ἀλλήλων ἓν ὄντες, δύο εὑρίσκονται.

19. Ταῦτα μὲν οὖν ὁ Σίμων ἐφευρὼν οὐ μόνον τὰ Μωσέως κακοτεχνήσας εἰς ὃ ἐβούλετο μεθηρμήνευσεν, ἀλλὰ καὶ τὰ τῶν ποιητῶν.

duo. Erat autem unus ille pater. Habens enim illam in ipso erat solus, non quidem primus, quanquam ante existens, manifestatus autem ipse a semetipso factus est secundus. Sed pater non vocatus est antequam illa appellaverit eum patrem. Ut igitur ille seipsum a seipso educens manifestavit sibi propriam suam cogitationem, eodem modo illa manifestata non egit, sed visum illum abscondit patrem in seipsa, id est Potestatem, et est Potestas mascula et feminea et Cogitatio, et inde ambæ sibi invicem respondent: nam nihil differt Potestas a Cogitatione, quum sint unum. Ex illis enim quæ supra sunt invenitur Potestas, ex illis quæ infra Cogitatio. Contingit igitur hoc modo ut quod manifestatum ab eis dum unum est duplex inveniatur, masculum et femineum habens femineam potestatem in seipso. Ille est Intelligentia in Cogitatione; utraque non separanda unum efficiens duo invenitur.

19. Quum igitur hæc Simon invenisset, non solum verba Moysis pessima arte vertit ad propositum suum et male interpretatus est, sed etiam

2. αὐτῷ cod.; αὐτὸς Mill. — 5. ἐπίνοιαν cod. — 10. Φανὲν ἂν αὐτῶν cod. corr. Mill. — 11-12. ἀχώριστα ἀπ' ἀλλήλων cod.; δὲ addidit Mill.; ἃ χωριστὰ... ὄντες. Dunck. — 14. Conf. B. Epiph. *Hær.* XXI, 3, ubi eadem fusius exponuntur. Simo enim Notionem prædicavit illam esse quam Homerus Helenam vocavit, additque: ἀναγκάζεται αὐτὴν διαγράφειν Ὅμηρος ἐπὶ πύργου ἑστηκέναι καὶ διὰ λαμπάδος ὑποφαίνειν τοῖς Ἕλλησι..... καὶ τὸν παρ' Ὁμήρῳ δούριον

Καὶ γὰρ τὸν δούρειον ἵππον ἀλληγορεῖ, καὶ τὴν Ἑλένην ἅμα τῇ λαμπάδι, καὶ ἄλλα πλεῖστα, ὅσα μετα[γράφων εἰς] τὰ αὐτοῦ καὶ τῆς ἐπινοίας, πλείστους ἀπάγει. Εἶν[αι δ' ἔλεγε] ταύτην τὸ πρόβατον τὸ πεπλανημένον· ἥτις ἀεὶ καταγινομένη ἐν γυναιξὶν ἐτάρασσε τὰς ἐν κόσμῳ δυνάμεις διὰ τὸ ἀνυπέρβλητον αὐτῆς κάλλος. Ὅθεν καὶ ὁ Τρωϊκὸς πόλεμος δι' αὐτὴν γεγένηται. Ἐν γὰρ τῇ κατ' ἐκεῖνον καιρὸν γενομένῃ Ἑλένῃ ἐνῴκησεν αὕτη ἡ Ἐπίνοια, καὶ οὕτως πασῶν ἐπιδικαζομένων αὐτῆς τῶν ἐξουσιῶν, στάσις καὶ πόλεμος ἐπανέστη ἐν οἷς ἐφάνη ἔθνεσιν. Οὕτως γοῦν τὸν Στησίχορον διὰ τῶν ἐπῶν λοιδορήσαντα αὐτήν, τὰς ὄψεις τυφλωθῆναι· αὖθις δέ, μεταμεληθέντος αὐτοῦ καὶ γράψαντος τὰς Παλινῳδίας ἐν αἷς ὕμνησεν αὐτήν, ἀναβλέψαι· μετενσωματουμένην ὑπὸ τῶν ἀγγέλων καὶ τῶν κάτω ἐξουσιῶν, οἳ καὶ τὸν κόσμον, φησίν, ἐποίησαν,

quæ cecinerunt poetæ. In allegorias enim vertit narrationes de ligneo equo, de Helena ejusque lampade, et de multis aliis quæ suis rebus et placitis suæ cogitationis male detorta accommodans plures seducit. Hanc Helenam dicebat ovem esse quæ erravit. Quæ quidem semper vivens in mulieribus turbavit omnes mundi potestates eximia pulchritudine sua. Nam propter eam ante Trojam pugnatum est. In Helena enim quæ illo tempore erat habitavit ista (summa potestas quæ vocatur) Conceptio et sic omnibus contendentibus de ea potestatibus evenerunt contentio et bellum in quibus apparuit populis. [Sic certe Stesichorum qui per carmina ei maledixit orbatum oculis. Post deinde pœnitentem et scribentem eas quæ vocantur Palinodias et in quibus cecinit eam rursus vidisse.] Quum autem angeli et inferiores potestates quæ hunc mundum, ut ait Simon, creaverunt, efficerent ut trans-

ἵππον μεμηχανημένον ἔλεγε πάλιν ὁ γόης ὅτι ἀγυιιά ἐστι τῶν ἐθνῶν. — 2-3. Hæc sic edidit Mill. : ὅσα μεταγ[ίζων] εἰς τὰ αὐτοῦ καὶ τῆς ἐπινοίας. Πλείστους λέγει. Punctum delendum est, et pro λέγει lege ἀπάγει. Vide etiam supra, p. 120, l. 13 : μετάγειν τὸν νοῦν τῶν προσεχόντων. — 3-4. Uncis inclusa supplevi ex B. Epiph. apud quem legimus : Διὰ ταύτην, φησί, καταβέβηκα, τοῦτο γάρ ἐστι τὸ γεγραμμένον ἐν τῷ Εὐαγγελίῳ τὸ πρόβατον τὸ πεπλανημένον (*Hær.* XXI, 3). — 6-7. κατ' ἐκείνου καίρου cod. corr. Mill. — 7. γενομένου cod. — ἐν αὐτῇ cod. ; susp. perperam Mill. ἐναντία. — 9. Hæc et quæ sequuntur in veteri latina versione B. Irenæi, quæ sola superest, leguntur. Ex ea igitur deprompsimus quæ græcis verbis respondent, et in nostra latina versione uncis inclusimus, ut clarius appareant quæ sunt Irenæi.

ὕσ1ερον ἐπὶ τέγους ἐν Τύρῳ τῆς Φοινίκης πόλει σ1ῆναι, ἣν κατελθὼν εὗρεν. Ἐπὶ γὰρ τὴν ταύτης πρώτην ζήτησιν ἔφη παραγεγονέναι, ὅπως ῥύσηται αὐτὴν τῶν δεσμῶν, ἣν λυτρωσάμενος ἅμα ἑαυτῷ περιῆγε, φάσκων[175] τοῦτο εἶναι ἀπολωλὸς πρόβατον, ἑαυτὸν δὲ λέγων τὴν ὑπὲρ πάντα δύναμιν εἶναι. Ὁ δὲ ψυχρὸς ἐρασθεὶς τοῦ γυναίου τούτου, Ἑλένης καλουμένης, ὠνησάμενος εἶχε, καὶ τοὺς μαθητὰς αἰδούμενος, τοῦτον τὸν μῦθον ἔπλασεν. Οἱ δὲ αὖθις μιμηταὶ τοῦ πλάνου [τοῦ] καὶ Σίμωνος μάγου γινόμενοι, τὰ ὅμοια δρῶσιν, ἀλογίσ1ως φάσκοντες δεῖν μίγνυσθαι, λέγοντες· πᾶσα γῆ γῆ, καὶ οὐ διαφέρει που τις σπείρει, πλὴν ἵνα σπείρῃ· ἀλλὰ καὶ μακαρίζουσιν ἑαυτοὺς ἐπὶ τῇ [ἀδιαφόρῳ] μίξει, ταύτην εἶναι λέγοντες τὴν τελείαν ἀγάπην, καὶ τὸ «ἅγιον ἁγίων καὶ ἀλλήλους ἁγιάζετε·» οὐ γὰρ μὴ κρατεῖσθαι αὐτοὺς ἐπί τινι νομιζομένῳ κακῷ, λελύτρωνται γάρ. Τὴν δὲ Ἑλένην λυτρωσάμενος, οὕτως τοῖς ἀνθρώποις σωτηρίαν παρέσχε

migraret de corpore in corpus; postremo in fornice constitit Tyri in civitate Phœnices quo veniens invenit eam. Dicebat se primum advenisse ad quærendam eam ut liberaret eam a vinculis; quam quidem quum redemisset secum, circum duxit dicens hanc esse perditam ovem, se autem summam potestatem omnia regentem. Absurdus autem hic homo mulierculam illam, quæ Helena vocatur, amans emit et habuit eam et præ pudore discipulorum suorum hanc fabulam effinxit. Discipuli autem errores Simonis Magi secuti similia agunt, absurde dicentes oportere ut omnes conjungantur et omnem terram esse terram, nec interesse ubi quis seminat modo seminet, et beatos sese proclamant ob hanc commixtionem promiscuam quam dicunt esse perfectam dilectionem et illud esse «*Sanctum Sanctorum* et vos invicem «sanctificate.» Nec teneri sese ulla re quæ vulgo pro mala habetur, redempti enim sunt. «Ubi autem, ait, liberavit eam, tum hominibus salutem præstitit

1. *ἐπί τε τοὺς* cod. Mill. qui addit in notis totam hanc sententiam depravatione et lacuna laborare. Sed, mutata interpunctione, quæ in cod. et apud Mill. mendosa est, lege *ἐπὶ τέγους* pro *ἐπί τε τοὺς*, et jam omnia clara fiunt. — 2. Melius *εὑρεῖν*. — 5. *ψυχρὸς* Buns. legit *μιαρὸς*, oblitus *ψυχρὸν* aliquando pro absurdo poni; *ψυδρὸς* Rœp.; *ψευδόχρισ1ος* R. Scott. — 7-8. *τοῦ πλάνου καὶ Σίμωνος* cod. Mill. [*τοῦ*] addidi, quod exciderat. — 10. *ποῦ τι σπείρει* cod. corr. Mill. — 11. [*ἀδιαφόρῳ*] supplevi; Mill. conjecit *ξένῃ* quam vocem evanidam esse ait in cod. Ac sane, nihil enim istius vocis apparet. — 12. *ἅγιος ἁγίων . . . λλη. ος ἁγιασθήσεται* cod. Mill. corr. Bunsen. – *οὐ γὰρ* sqq. in his quoque aliquid corruptum.

διὰ τῆς ἰδίας ἐπιγνώσεως. Κακῶς γὰρ διοικούντων τῶν ἀγγέλων τὸν κόσμον, διὰ τὸ φιλαρχεῖν αὐτούς, εἰς ἐπανόρθωσιν ἐληλυθέναι αὐτὸν ἔφη μεταμορφούμενον καὶ ἐξομοιούμενον ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις καὶ τοῖς ἀγγέλοις, ὡς καὶ ἄνθρωπον φαίνεσθαι αὐτόν, μὴ ὄντα ἄνθρωπον, καὶ πεπονθέναι δὲ ἐν τῇ Ἰουδαίᾳ δεδοκηκέναι καὶ μὴ πεπονθότα, ἀλλὰ φανέντα Ἰουδαίοις μὲν ὡς Υἱὸν, ἐν δὲ τῇ Σαμαρείᾳ ὡς Πατέρα, ἐν δὲ τοῖς λοιποῖς ἔθνεσιν ὡς Πνεῦμα ἅγιον. Ὑπομένειν δὲ αὐτὸν καλεῖσθαι οἵῳ ἂν ὀνόματι καλεῖν βούλωνται οἱ ἄνθρωποι· τοὺς δὲ προφήτας ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων ἐμπνευσθέντας εἰρηκέναι τὰς προφητείας. Διὸ μὴ φροντίζειν αὐτῶν τοὺς εἰς τὸν Σίμωνα καὶ τὴν Ἑλένην πεπιστευκότας, ἕως [τοῦ] νῦν πράσσειν ὅσα βούλονται ὡς ἐλευθέρους. Κατὰ γὰρ τὴν αὐτοῦ χάριν σώζεσθαι αὐτοὺς φάσκουσι. Μηδένα γὰρ εἶναι αἴτιον δίκης εἰ (176) πράξει τι κακόν· οὐ γάρ ἐστι φύσει κακὸν ἀλλὰ θέσει. Ἔθεντο

«per suam agnitionem. Quum enim male moderarentur angeli mundum «quoniam unusquisque eorum concupisceret principatum, ad emendatio-«nem venisse rerum et descendisse eum transfiguratum et assimilatum vir-«tutibus et potestatibus et angelis, ut et hominibus homo appareret ipse. «quum non esset homo, et passum esse in Judæa putatum, quum non esset «passus,» et apparuisse Judæis quasi Filium et Samaritanis quasi Patrem et cæteris gentibus quasi Spiritum sanctum. Et permisisse vocari se quocumque nomine eum vocare volunt homines. «Prophetas autem a mundi fabri-«catoribus angelis inspiratos dixisse prophetias» (ait) : quapropter nec ulterius curarent eos hi qui in eum et in Helenam spem habeant, et hodieque ut libere agant quæ velint. Secundum enim ipsius gratiam salvari homines dicunt. Et neminem fore reprehensibilem si faciet aliquid mali : non natura quidem sed lege imposita malum est quod malum vocatur. «Imposuerunt

5-6. καὶ δεδοκηκέναι μὴ πεπονθότα cod. Mill. quæ a librario doctrinæ hæreticorum ignaro proveniunt. Lege καὶ μὴ πεπονθότα. — 11. [τοῦ] addidi. — 12. τὰ σὰ βούλονται cod. pro ὅσα βούλονται. Cf. B. Irenæi latinam veterem versionem in qua hæc eadem legimus : «Quapropter «nec ulterius curarent eos hi qui in eum «et in Helenam ejus spem habeant et ut «liberos agere quæ velint.» — 13. Μηδὲν cod. Millerus; Μηδένα Bunsenius. — 13-14. εἰσπράξει cod. corr. Millerus. — 14. τις κακῶς cod. Mill. – φύσει κακὸς cod. Millerus.

γάρ, φησίν, οἱ ἄγγελοι οἱ τὸν κόσμον ποιήσαντες, ὅσα ἐβούλοντο· διὰ τῶν τοιούτων λόγων δουλοῦν νομίζοντες τοὺς αὐτῶν ἀκούοντας. Λύσιν δὲ αὔθις λέγουσι τοῦ κόσμου ἐπὶ λυτρώσει τῶν ἰδίων ἀνθρώπων.

20. Οἱ οὖν τούτου μαθηταὶ μαγείας ἐπιτελοῦσι καὶ ἐπαοιδάς· φίλτρα τε καὶ ἀγώγιμα καὶ τοὺς λεγομένους ὀνειροπόμπους δαίμονας ἐπιπέμπουσι πρὸς τὸ ταράσσειν οὓς βούλονται. Ἀλλὰ καὶ παρέδρους τοὺς λεγομένους ἀσκοῦσιν. Εἰκόνα τε τοῦ Σίμωνος ἔχουσιν εἰς Διὸς μορφὴν καὶ τῆς Ἑλένης ἐν μορφῇ Ἀθηνᾶς, καὶ ταύτας προσκυνοῦσι, τὸν μὲν καλοῦντες κύριον, τὴν δὲ κυρίαν. Εἰ δέ τις ὀνόματι καλέσει παρ' αὐτοῖς ἰδὼν τὰς εἰκόνας ἢ Σίμωνος ἢ Ἑλένης, ἀπόβλητος γίνεται, ὡς ἀγνοῶν τὰ μυστήρια. Οὗτος ὁ Σίμων πολλοὺς πλανῶν ἐν τῇ Σαμαρείᾳ μαγείαις, ὑπὸ τῶν ἀποστόλων

«enim leges quas volebant angeli qui fecerunt mundum;» per hujusmodi præcepta in servitutem deducentes suos discipulos. Solvi autem mundum dicunt ut liberentur ii qui sunt ejus.

20. Hujus igitur discipuli magicas præstigias et incantationes perficiunt et amatoria pocula et adlectantia et dæmones qui vocantur Oniropompi (somnia mittentes) mittunt ad vexandum eos quos volunt; præterea quos vocant «assessores spiritus» exercent. «Imaginem quoque Simonis habent «factam ad figuram Jovis et Helenæ in figuram Minervæ et has adorant,» illum quidem vocantes dominum, hanc autem dominam. Et si quis aspiciens imaginem Simonis vel Helenæ nomen pronuntiabit, ejicietur ut ignarus mysteriorum. Iste Simon quum multos seduxisset in Samaria, repre-

3. Φύσιν δὲ αὔθις λέγουσι τὸν κόσμον cod. Mill. quæ sensu carent. Versio B. Irenæi habet: «Quapropter et solvi mun«dum et liberari eos qui sunt ejus.» Inde facile est restituere Λύσιν τοῦ κόσμου vel Λύσειν τὸν κόσμον. Conf. de eodem loco Bunsen. *Hippol.* vol. I, p. 52, edit. 1852. — 5-12. Manifestum est hæc ab Origene non fuisse scripta. Ille enim in *Primo contra Celsum libro*, num. 57, ait in toto orbe non reperiri posse triginta Simonianos; additque: plures dixi quam revera sunt: Νυνὶ δὲ τοὺς πάντας ἐν τῇ οἰκουμένῃ οὐκ ἔσῃ Σιμωνιανοὺς εὑρεῖν τὸν ἀριθμὸν, οἶμαι, τριάκοντα. Καὶ τάχα πλείονας εἶπον τῶν ὄντων. Idem in *Sexto contra Celsum libro*, num. 11, affirmat nusquam gentium reperiri posse Simonianos: Οὐδαμοῦ γὰρ τῆς οἰκουμένης Σιμωνιανοί. At noster Φιλοσοφουμένων auctor hanc sectam florentem vidit, vel, ut rectius dicam, scripsit adversus eam quasi suis temporibus æqualem et vigentem.

ἠλέγχθη, καὶ ἐπάρατος γενόμενος καθὼς ἐν ταῖς Πράξεσι γέγραπται, ὕστερον ἀπευδοκήσας, ταὐτὰ ἐπεχείρησεν, ἕως καὶ τῆς Ῥώμης ἐπιδημήσας ἀντέπεσε τοῖς ἀποστόλοις· πρὸς ὃν πολλὰ Πέτρος ἀντικατέστη, μαγείαις πλανῶντα πολλούς. Οὗτος ἐπὶ τέλει ἐλθὼν ἐν τ....τη, ὑπὸ πλάτανον καθεζόμενος ἐδίδασκε. Καὶ δὴ λοιπὸν ἐγγὺς τοῦ ἐλέγχεσθαι γινόμενος διὰ τὸ ἐγχρονίζειν, ἔφη ὅτι εἰ χωσθείη ζῶν, ἀναστήσεται τῇ τρίτῃ ἡμέρᾳ. Καὶ δὴ τάφρον κελεύσας ὀρυγῆναι ὑπὸ τῶν μαθητῶν, ἐκέλευσε χωσθῆναι. Οἱ μὲν οὖν τὸ πρόσταχθὲν ἐποίησαν, ὁ δὲ ἀπέμεινεν ἕως νῦν· οὐ γὰρ ἦν ὁ Χριστός. Οὗτος δὴ καὶ ὁ κατὰ τὸν Σίμωνα μῦθος, ἀφ' οὗ Οὐαλεντῖνος τὰς ἀφορμὰς λαβών, ἄλλοις ὀνόμασι καλεῖ. Ὁ γὰρ Νοῦς[177] καὶ Ἀλήθεια καὶ Λόγος καὶ Ζωὴ καὶ Ἄνθρωπος καὶ Ἐκκλησία, οἱ Οὐαλεντίνου Αἰῶνες, ὁμολογουμένως εἰσὶν αἱ Σίμωνος ἓξ ῥίζαι, Νοῦς, Ἐπίνοια, Φωνή, Ὄνομα, Λογισμὸς καὶ Ἐνθύμησις. Ἀλλ' ἐπεὶ ἱκανῶς ἡμῖν δοκεῖ ἐκτεθεῖσθαι τὴν Σίμωνος μυθοποιΐαν, ἴδωμεν τί λέγει καὶ Οὐαλεντῖνος.

hensus est ab apostolis et maledictus sicut scriptum est in Actis, deinde, repudiata fide, eadem exercuit, donec Romam profectus conflixit cum apostolis. Quem multos magica arte decipientem sæpe Petrus impugnavit. Novissime venit..... et sub platano sedens, edocuit. Et tandem quum in eo esset ut convinceretur, quia diu in ea re perstabat, promisit, si vivus sepeliretur, se resurrecturum tertia die. Foveaque effossa a discipulis se jussit sepeliri; discipuli quod mandatum erat effecerunt; ille autem ibi mansit usque nunc. Non enim erat Christus. Hæc est Simonis mendax doctrina; a qua Valentinus profectus, eadem placita aliis nominibus decoravit. Nam Intelligentia et Veritas et Sermo et Vita et Homo et Ecclesia, qui sunt Valentini Æones, sunt Simonis sex principia, Intelligentia et Cogitatio, Vox et Nomen, Ratio et Conceptio. Sed quum videmur satis exposuisse Simonis fabularum farraginem, nunc audiamus quid dicat Valentinus.

2. ταῦτα cod. — 3. ἐπιδημήσας cod.; ἐπιδημῆσαι· ἀντέπεσε δέ conj. Mill. — 6. δὶς τὸ ἐγχρονίζειν cod. Mill. suspicatur διὰ τὸ. — 13. οἱ ῥίζαι cod. Mill.

β'. Περὶ Οὐαλεντίνου.

21. Ἔστι μὲν οὖν ἡ Οὐαλεντίνου αἵρεσις Πυθαγορικὴν ἔχουσα καὶ Πλατωνικὴν τὴν ὑπόθεσιν. Καὶ γὰρ Πλάτων ὅλως ἐν τῷ Τιμαίῳ τὸν Πυθαγόραν ἀπεμάξατο· τοιγαροῦν καὶ ὁ Τίμαιος αὐτός ἐστιν αὐτῷ Πυθαγόρειος ξένος. Διὸ δοκεῖ ὀλίγα τῆς Πυθαγορείου καὶ Πλατωνικῆς ὑπομνησθέντας ὑποθέσεως ἄρξασθαι καὶ τὰ Οὐαλεντίνου λέγειν. Εἰ γὰρ καὶ ἐν τοῖς πρότερον ὑφ' ἡμῶν πεπονημένοις ἔγκεινται καὶ τὰ Πυθαγόρᾳ καὶ Πλάτωνι δεδοκημένα, ἀλλά γε καὶ νῦν οὐκ ἀλόγως ὑπομνησθήσομαι δι' ἐπιτομῆς τὰ κορυφαιότατα τῶν αὐτοῖς ἀρεσκομένων, πρὸς τὸ εὐεπίγνωστα γενέσθαι τὰ Οὐαλεντίνῳ δόξαντα διὰ τῆς ἐγγίονος παραθέσεως καὶ ὁμοίας συγκρίσεως, τῶν μὲν πάλαι ἀπ' Αἰγυπτίων ταῦτα παραλαβόντων καὶ εἰς Ἕλληνας μεταδιδαξάντων, τοῦ δὲ παρὰ τούτων, ἔτι περὶ αὐτῶν διαψευσαμένου ἰδίαν τε δόξαν συστῆσαι πεπειραμένου, σπαράξαντος μὲν

II. DE VALENTINO.

21. Valentini igitur hæresis a Pythagoricis et Platonicis doctrinis principia ducit. Omnia enim a Pythagora Plato in Timæo mutuatus est. Quippe ipsi Timæus est Pythagoricus hospes. Itaque expedit primum nonnulla Pythagoræ et Platonis in memoriam revocare ac deinde Valentini doctrinam aggredi. Quanquam enim in illis quæ superius scripsi Pythagoræ Platonisque placita reperiantur, haud rationi repugnabit, si breviter etiam nunc in memoriam revocaverimus præcipua eorum placita, quo melius per propinquam collationem mutuamque æquiparationem appareant quæ Valentino placuerint. Quum enim Plato et Pythagoras hæc ab Ægyptiis antiquitus accepta Græcos docuissent, Valentinus autem ab istis mutuatus sit et supra eos mentitus et ut propriam suam doctrinam commendaret sit enixus, horum

Cap. I, l. 1. De Valentino lege B. Irenæi lib. I; Tertull. lib. *in Valent.* et lib. *Præs.* c. xxx; Clem. Alex. *Strom.* lib. IV, c. xiii, lib. VI, c. vi et passim; Theod. *Hæret. fab.* lib. I, c. vii; B. Epiph. *Hær.* xxxi; B. August. *Hær.* xi; Philastr. c. viii; Photius, cod. ccxxx. — 3. ἀπομάξατο cod. corr. Mill. — 12. ἔτι περὶ] ὅτι παρ' cod. — 13 et p. 269, 1-2. σπαράξαντα..... καλέσαντα... διορίσαντα cod. Mill. pro σπαράξαντος κ. τ. λ. ος finalis quomodo in α coalescat et palæographica ratione et exemplis docet Bastius, *Comment. Palæogr.* p. 773.

τὰ ἐκείνων ὀνόμασι καὶ ἀριθμοῖς, ἰδίως δὲ καλέσαντος καὶ μέτροις διορίσαντος, ὅπως αἵρεσιν Ἑλληνικὴν ποικίλην μέν, ἀσύστατον δέ, καὶ οὐκ ἀνήκουσαν Χριστῷ συστήσῃ.

22. Ἡ μὲν οὖν ἀρχὴ τῆς ὑποθέσεώς ἐστιν [ἡ] ἐν τῷ[178] Τιμαίῳ τῷ Πλάτωνος σοφία Αἰγυπτίων· ἐκεῖθεν γὰρ ὁ Σόλων τὴν ὅλην ὑπόθεσιν περὶ τῆς κόσμου γεννήσεως καὶ φθορᾶς, παλαιῷ τινὶ λόγῳ καὶ προφητικῷ, ὡς φησὶν ὁ Πλάτων, τοὺς Ἕλληνας ἐδίδαξε, παῖδας νέους ὄντας, καὶ πρεσβύτερον ἐπισταμένους μάθημα οὐδὲν θεολογούμενον. Ἵν' οὖν παρακολουθήσωμεν τοῖς λόγοις οἷς καταβέβληται Οὐαλεντῖνος, προεκθήσομαι νῦν τίνα ἐστὶν ἃ Πυθαγόρας ὁ Σάμιος μετὰ τῆς ὑμνουμένης ἐκείνης παρὰ τοῖς Ἕλλησι [σι]γῆς φιλοσοφεῖ· εἶθ' οὕτως ταῦτα ἀπὸ Πυθαγόρου λαβὼν καὶ Πλάτωνος Οὐαλεντῖνος σεμνολογῶν ἀνατίθησι Χριστῷ καὶ πρὸ τοῦ Χριστοῦ τῷ Πατρὶ τῶν ὅλων, καὶ Σιγῇ τῇ συνεζευγμένῃ τῷ Πατρί.

23. Πυθαγόρας τοίνυν ἀρχὴν τῶν ὅλων ἀγέννητον ἀπεφήνατο τὴν μονάδα, γεννητὴν δὲ τὴν δυάδα καὶ πάντας τοὺς ἄλλους ἀριθμούς. Καὶ τῆς μὲν δυάδος πατέρα φησὶν εἶναι τὴν μονάδα, πάν-

philosophorum placita numeris et titulis lacerans ea suis mensuris et nominibus decoravit et divisit ita ut græcam hæresim ingeniosam quidem, non firmam autem neque christianæ fidei congruentem conflaret.

22. Horum igitur principiorum fons, qui quidem in Platonis Timæo invenitur, est Ægyptiorum sapientia. Inde enim Solon cuncta de mundi ortu et excidio principia retulit et, antiquo quodam et prophetico sermone, ut Plato ait, Græcos adhuc pueros nec ullius hactenus theologicæ scientiæ gnaros edocuit. Ut autem prosequamur sermones quibus Valentinus innititur, primum exponam quæ Samius iste Pythagoras, cum hoc silentio tam inter Græcos celebrato, philosophans dicit, deinde ista etiam quæ a Pythagora et Platone accepta Valentinus magnifice loquens attribuit Christo et, ante Christum, Patri universorum, et Silentio conjuncto Patri.

23. Pythagoras autem omnium rerum principium docuit esse unitatem increatam, genitamque dyadem cæterosque omnes numeros. Dyadis addit

4. [ἡ] addidit Mill. — 5. Σολομῶν cod. Σόλων Mill. Cf. Tim. § 7, edit. Bekker. Lond. VII, p. 249. — 12. ἃ Πυθαγόρου cod. — 13. τοῦ Χριστῷ cod. corr. Mill.

τῶν δὲ τῶν γεννωμένων μητέρα δυάδα, γεννητὴν γεννητῶν. Καὶ Ζαράτας ὁ Πυθαγόρου διδάσκαλος ἐκάλει τὸ μὲν ἓν πατέρα, τὰ δὲ δύο, μητέρα. Γεγέννηται γὰρ ἐκ μὲν μονάδος δυὰς κατὰ τὸν Πυθαγόραν, καὶ ἔστιν ἡ μὲν μονάς, ἄρρεν καὶ πρώτη· ἡ δὲ δυάς, θῆλυ [καὶ δευτέρα]. Παρὰ τῆς δυάδος δὲ πάλιν, ὡς ὁ Πυθαγόρας λέγει, ἡ τριὰς καὶ οἱ ἐφεξῆς ἀριθμοὶ μέχρι τῶν δέκα. Τοῦτον γὰρ οἶδε μόνον τέλειον ἀριθμὸν Πυθαγόρας τὸν δέκα· τὸν γὰρ ἕνδεκα καὶ δώδεκα, προσθήκην καὶ ἐπαναποδισμὸν τῆς δεκάδος, οὐκ ἄλλου τινὸς ἀριθμοῦ γέννησιν. Τὸ προστιθέμενον πάντα τὰ σώματα στερεὰ ἐξ ἀσωμάτων γεννᾷ. Τῶν τε γὰρ σωμάτων καὶ ἀσωμάτων ὁμοῦ σημεῖον εἶναι φησὶ καὶ ἀρχὴν τὸ σημεῖον[179] ὃ ἔστιν ἀμερές· γίνεται δέ, φησίν, ἐκ σημείου γραμμή, καὶ ἐπιφάνεια δὲ ῥυεῖσα εἰς βάθος στερεὸν ὑφέστηκε, φησί, σῶμα. Ὅθεν καὶ ὅρκος τίς ἐστι τοῖς Πυθαγορικοῖς ἡ τῶν τεσσάρων στοιχείων συμφωνία. Ὀμνύουσι δ' οὕτως·

patrem esse unitatem; matrem autem procreatorum omnium dyadem, genitam, matrem genitorum. Zaratas quoque, Pythagoræ discipulus, unitatem patrem, dyadem autem matrem vocabat. Genita est ex unitate dyas, secundum Pythagoram. Ipsa autem unitas mascula est et prima; dyas autem feminea. Ex dyade, ut ait Pythagoras, trias aliique numeri in ordinem usque ad decem procreantur. Hunc enim solum Pythagoras, decem dico, perfectum numerum putat. Undecimum enim et duodecimum, decadis quidem additionem et iterationem, non cujusquam alius numeri creationem esse. Omnia solida corpora ex incorporeis quod est superadditum gignit. Corporum enim pariter et incorporeorum primum punctum et originem esse ait illud punctum quod est individuum. Ex isto autem puncto linea nascitur et planities, quæ in altitudinem provecta solidum, ut ait, corpus efficitur. Hinc apud Pythagoreos etiam jusjurandum aliquod est quatuor elementorum consociatio. Sic autem jurant :

7-13. Hæc dilucidare possunt quæ apud Diog. Laert de Pythagora legimus. Dicebat enim : Ἐκ τῶν ἀριθμῶν τὰ σημεῖα· ἐκ δὲ τούτων τὰς γραμμάς· ἐξ ὧν τὰ ἐπίπεδα σχήματα· ἐκ δὲ τῶν ἐπιπέδων τὰ στερεὰ σχήματα· ἐκ δὲ τούτων, τὰ στερεὰ σώματα, ὧν καὶ τὰ στοιχεῖα εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα. — 8-10. Hæc sic edidit Millerus : *οὐκ ἄλλου τινὸς ἀριθμοῦ γέννησιν τὸ προσιθέμενον πάντα τε σώματα στερεὰ ἐξ ἀσωμάτων γεννᾷ.* Addidit in notis : pro *τὸ προσιθέμενον* fort. *νομισθέον* vel potius *νομίζει μόνον*, mox lege *δὲ* pro *τέ*.

Ναὶ μὰ τὸν ἀμετέρᾳ κεφαλᾷ παραδόντα τετρακτύν,
πηγὴν ἀενάου φύσεως [ῥιζώματ'] ἔχουσαν.

Ἔστι δὲ ἡ τετρακτὺς τῶν φυσικῶν καὶ στερεῶν σωμάτων ἀρχή, ὡς ἡ μονὰς τῶν νοητῶν. Ὅτι δὲ καὶ ἡ τετρακτὺς γεννᾷ, φησί, τὸν τέλειον ἀριθμὸν ὡς ἐν τοῖς νοητοῖς [ἡ μονὰς] τὸν δέκα, διδάσκουσιν οὕτως. Εἰ [γὰρ] ἀρξάμενος ἀριθμεῖν λέγει τις ὅτι ἕν, καὶ ἐπιφέρει δύο, ἔπειτα ὁμοίως τρία, ἔσονται ταῦτα ἑξ· πρὸς δὲ τούτοις, ἔτι τέσσαρα, ἔσται ὁμοίως τὸ πᾶν δέκα. Τὸ γὰρ ἕν, δύο, τρία, τέσσαρα, γίνεται δέκα, ὁ τέλειος ἀριθμός. Οὕτως, φησί, κατὰ πάντα ἐμιμήσατο ἡ τετρακτὺς τὴν νοητὴν μονάδα, τέλειον ἀριθμὸν γενυῆσαι δυνηθεῖσαν.

24. Δύο οὖν κατὰ τὸν Πυθαγόραν εἰσὶ κόσμοι, εἷς μὲν νοητός, ὃς ἔχει τὴν μονάδα ἀρχήν, εἷς δὲ αἰσθητός· τοῦτο δέ ἐστι τετρακτὺς ἔχουσα ἰῶτα τὴν μίαν κεραίαν ἀριθμὸν τέλειον· καὶ ἔστι κατὰ τοὺς

Per eum qui nostro capiti tradidit quaternarium
fontem perennis naturæ radices habentem.

1. δ' Rœp. — 2. [δὲ] addid. Mill. — 3. Post προεῖπον Mill. addid. προβεβηκέναι quod prorsus inutile est. His male interpunctis, sententiam Mill. concludit post τριάκοντα. – [τοὺς] supplev. Rœp. — 4. ἐπιπροβεβληκέναι cod. Legend. ἐπιπροβεβληκέναι. — 10-11. [καὶ] supplevi. – ὁ Λόγος cod. Mill. Legit Dunck.: ὃ λόγους οἵτινες, et latine vertit «septuaginta logos qui sunt «angeli.» Legendum esse censeo quod in codice est: ὁ Λόγος. Nomen est fructus communis Pleromatis, ut ait B. Iren. (I, II, 6); adde, secundum Valentinum, λόγους superne descendisse et habitare cum animis in hominum corporibus (vide infra), angelos autem satellites esse Λόγου. Apud B. Iren. legimus: δορυφόρους τε αὐτῷ... ἀγγέλους συμπροβεβλῆσθαι, et apud Theodoretum qui e nostro videtur Valentini placita excerpsisse: προβάλλονται διὰ τούτων (Αἰώνων) τὸν Ἰησοῦν, τὸν Χριστὸν Λόγον· σὺν αὐτῷ δὲ τοὺς ἄλλους ἀγγέλους προεβάλοντο ὥστ' εἶναι δορυφόρους αὐτοῦ. Si quædam igitur sunt restituenda, legendum esse suspicarer: ὁ Λόγος [καὶ οἱ δορυφόροι αὐτοῦ] οἵτινες κ. τ. λ.

Σοφία, καὶ ὁ νυμφίος αὐτῆς ὁ κοινὸς τοῦ Πληρώματος καρπός. Προέβαλε [δὲ] καὶ ὁ Δημιουργὸς ψυχάς· αὕτη γὰρ οὐσία ψυχῶν, οὗτός ἐστι κατ' αὐτοὺς Ἀβραάμ, καὶ ταῦτα τοῦ Ἀβραὰμ τὰ τέκνα. Ἐκ τῆς ὑλικῆς οὐσίας οὖν καὶ διαβολικῆς ἐποίησεν ὁ Δημιουργὸς ταῖς ψυχαῖς τὰ σώματα. Τοῦτό ἐστι τὸ εἰρημένον· «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν «ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσω-«πον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν «ζῶσαν.» Οὗτός ἐστι κατ' αὐτοὺς ὁ ἔσω ἄνθρωπος ὁ ψυχικὸς ἐν τῷ σώματι κατοικῶν τῷ ὑλικῷ, ὅ ἐστιν ὑλικός, φθαρτός, τελέως ἐκ τῆς διαβολικῆς οὐσίας πεπλασμένος. Ἔστι δὲ οὗτος ὁ ὑλικὸς ἄνθρωπος οἱονεὶ (κατ' αὐτοὺς) πανδοχεῖον ἢ κατοικητήριον, ποτὲ μὲν ψυχῆς μόνης, ποτὲ δὲ ψυχῆς καὶ δαιμόνων, ποτὲ δὲ ψυχῆς καὶ λόγων, οἵτινές εἰσι λόγοι ἄνωθεν κατεσπαρμένοι ἀπὸ τοῦ κοινοῦ τοῦ Πληρώματος καρποῦ καὶ τῆς Σοφίας εἰς τοῦτον τὸν κόσμον, κατοικοῦντες ἐν [σώμα]τι χοϊκῷ μετὰ ψυχῆς, ὅταν δαίμονες μὴ συνοικῶσι τῇ ψυχῇ. Τοῦτο ἐστί, φησί, τὸ γεγραμμένον ἐν τῇ Γραφῇ· «Τούτου

externa est Jerusalem, et sponsus ejus est communis Pleromatis fructus. Emisit et Demiurgus animas. Illa autem substantia animarum est secundum eos in ipso Abraham, et animæ sunt filii Abraham. Ex materiali substantia et ex diabolica Demiurgus animis affinxit corpora. Quod quidem dictum est hisce verbis : «Formavit Deus hominem de limo terræ et inspi-«ravit in faciem ejus spiraculum vitæ et factus est homo in animam viven-«tem.» Hic est secundum illos animalis homo interior, in corpore materiali habitans. Materialis homo est mortalis et ex substantia diabolica plene formatus. Est autem iste materialis homo, secundum eos, quasi diversorium vel domicilium ubi aliquando habitat anima sola, aliquando anima et dæmones, aliquando anima et verba, quæ sunt verba ex fructu communi Pleromatis et ex Sapientia desuper immissa in hunc mundum et inhabitantia cum anima in corpore terreno, quando dæmones non cohabitant cum anima. Hoc est, ait Valentinus, quod scriptum est in sacra Scriptura. «Hujus rei

1. *κοινωνὸς* cod. Mill. — 2. [δὲ] addidi quod exciderat post *αλε*. — 5-8. *Gen.* II, 7. — 9. *τέλειος* cod.; *τελέως* Millerus, Bunsen.; *ἀτέλειος* Dunck. quod post *ὑλικός* et *φθαρτός* supervacuum esset. — 11. *κατ' αὐτοὺς* delendum, ut apparet ex loco quo intrusum est inepte. An *κατώγειον*? — 11-16. Cf. B. Epiph. *Hær.* XXXI, § 7. — 16, et p. 294, 1-6. Conf. B. Pauli ad Ephes. III, 14-18.

« χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Θεὸν καὶ Πατέρα καὶ Κύριον « τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα δῴη ὑμῖν ὁ Θεὸς κατοικῆσαι « τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, » τουτέστι τὸν ψυχικόν, οὐ τὸν σωματικόν, « ἵνα ἐξισχύσητε νοῆσαι τί τὸ βάθος, » ὅπερ ἐστὶν ὁ Πατὴρ τῶν ὅλων, « καὶ τί τὸ πλάτος, » ὅπερ ἐστὶν ὁ Σταυρός, ὁ ὅρος τοῦ Πληρώματος, « ἢ τί τὸ μῆκος, » τουτέστι τὸ Πλήρωμα τῶν Αἰώνων. Διὰ[194] τοῦτο [ὁ] ψυχικός, φησίν, ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστί· μωρία δέ, φησίν, ἐστὶν ἡ δύναμις τοῦ Δημιουργοῦ· μωρὸς γὰρ ἦν καὶ ἄνους, καὶ ἐνόμιζεν αὐτὸς δημιουργεῖν τὸν κόσμον, ἀγνοῶν ὅτι πάντα ἡ Σοφία ἡ Μήτηρ ἡ Ὀγδοὰς ἐνεργεῖ αὐτῷ πρὸς τὴν κτίσιν τοῦ κόσμου οὐκ εἰδότι.

35. Πάντες οὖν οἱ προφῆται καὶ ὁ νόμος ἐλάλησαν ἀπὸ τοῦ Δημιουργοῦ, μωροῦ, λέγει, Θεοῦ, μωροὶ, οὐδὲν εἰδότες. Διὰ τοῦτο, φησί, λέγει ὁ Σωτήρ· « Πάντες οἱ πρὸ ἐμοῦ ἐληλυθότες κλέπται « καὶ λῃσταὶ εἰσί. » Καὶ ὁ Ἀπόστολος· « Τὸ μυστήριον ὃ ταῖς προ« τέραις γενεαῖς οὐκ ἐγνωρίσθη. » Οὐδεὶς γάρ, φησί, τῶν προφητῶν

« gratia flecto genua mea ad Deum et Patrem et Dominum Domini nostri « Jesu Christi, ut det vobis Deus inhabitare Christum in interiori homine, » id est in anima non in corpore hominis, « ut possitis comprehendere quid « sit profundum, » quod est Pater omnium, « quæ sit latitudo, » id est Crux vel terminus Pleromatis, « quæ sit longitudo, » id est Pleroma Æonum. Et propter illud, ait, « animalis homo non percipit ea quæ sunt spiritus « Dei : stultitia enim est illi. » Stultitia autem, inquit, est potestas Demiurgi : stultus enim erat et amens et opinabatur a semetipso formari mundum, dum Sapientia Mater et Ogdoas omnia operabatur, quod quidem nesciebat, pro illo ignaro ad constitutionem mundi.

35. Lex igitur et omnes prophetæ locuti sunt per Demiurgum, insanum quidem deum, ut dicit, insani ipsi, nihil scientes. Quamobrem affirmat Salvatorem dixisse : « Omnes, quotquot ante me venerunt, fures sunt et la« trones ; » et Apostolum : « Mysterium quod absconditum fuit a sæculis et « generationibus. » Nullus enim, ait, Prophetarum dixit de istis eorum quid-

2. ἡμῖν cod. — 7. Conf. B. Pauli I ad Corinth. II, 14. — 13 sqq. Conf. B. Epiphan. *Hær.* XXXI, § 22. — 14. B. Joan. X, 8. — 15-16. B. Pauli ad Coloss. I, 26.

εἴρηκε περὶ τούτων οὐδὲν ὧν ἡμεῖς λέγομεν· ἠγνοεῖτο γὰρ πάντα, ἅτε δὴ ἀπὸ μόνου τοῦ Δημιουργοῦ λελαλημένα. Ὅτε οὖν τέλος ἔλαβεν ἡ κτίσις, καὶ ἔδει λοιπὸν γενέσθαι τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, τουτέστι τοῦ Δημιουργοῦ, τὴν ἐγκεκαλυμμένην, ἥν, φησίν, ἐγκεκάλυπτο ὁ ψυχικὸς ἄνθρωπος, καὶ εἶχε κάλυμμα ἐπὶ τὴν καρδίαν· ὁπότε οὖν ἔδει ἀρθῆναι τὸ κάλυμμα καὶ ὀφθῆναι ταῦτα τὰ μυστήρια, γεγέννηται ὁ Ἰησοῦς διὰ Μαρίας τῆς Παρθένου κατὰ τὸ εἰρημένον· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ·» Πνεῦμα ἐστὶν ἡ Σοφία· «καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι·» Ὑψιστός ἐστιν ὁ Δημιουργός. «Διὸ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται.» Γεγένηται γὰρ οὐκ ἀπὸ Ὑψίστου μόνον, ὥσπερ οἱ κατὰ τὸν Ἀδὰμ κτισθέντες ἀπὸ μόνου ἐκτίσθησαν τοῦ Ὑψίστου, τουτέστι (τῆς Σοφίας καὶ) τοῦ Δημιουργοῦ. Ὁ δὲ Ἰησοῦς ὁ καινὸς[195] ἄνθρωπος, ἀπὸ Πνεύματος Ἁγίου [καὶ τοῦ Ὑψίστου], τουτέστι τῆς Σοφίας καὶ τοῦ Δημιουργοῦ, ἵνα τὴν μὲν πλάσιν καὶ κατασκευὴν τοῦ σώματος αὐτοῦ ὁ Δημιουργὸς καταρτίσῃ, τὴν δὲ οὐσίαν αὐτοῦ τὸ Πνεῦμα παράσχῃ

quam quæ nos dicimus. Omnia enim incognita erant utpote inde a solo dicta Demiurgo. Quum igitur ad finem adducta est creatio et oportuit fieri revelationem filiorum Dei, id est Demiurgi, usque adhuc obvelatam, qua quidem, inquit, obvelatus fuerat animalis homo velamen habens super cor: quum igitur oportuit velamen istud tolli et conspici mysteria, natus est Jesus ex Maria Virgine, ut dictum est: «Spiritus Sanctus superveniet «in te.» Spiritus est Sapientia. «Et virtus Altissimi obumbrabit tibi.» Altissimus est Demiurgus. «Itaque quod nascetur ex te sanctum vocabitur.» Natus est enim non ex solo Altissimo sicut filii Adam qui a solo Altissimo creati sunt. Jesus autem novus homo natus est e Spiritu Sancto et ex Altissimo, id est ex Sapientia et Demiurgo, hoc quidem pacto ut formam et membra corporis ejus Demiurgus fingeret, naturam vero Spiritus Sanctus

8. B. Luc. 1, 35. — 12-13. Uncis inclusi τῆς Σοφίας καὶ, quæ ex eisdem verbis infra repetitis proveniunt et sunt delenda. Male legunt Bernaysius et Bunsenius τοῦ Ὑψίστου [ἀλλ' ἀπὸ τοῦ Πνεύματος καὶ τοῦ Ὑψίστου] τουτέστι τῆς Σοφίας καὶ τοῦ Δημιουργοῦ κ. τ. λ. Scilicet non animadverterunt his additis in eodem loco eadem bis dici.

τὸ Ἅγιον, καὶ γένηται Λόγος ἐπουράνιος ἀπὸ τῆς Ὀγδοάδος γεννηθεὶς διὰ Μαρίας. Περὶ τούτου ζήτησις μεγάλη ἐστὶν αὐτοῖς, καὶ σχισμάτων καὶ διαφορᾶς ἀφορμή. Καὶ γέγονεν ἐντεῦθεν ἡ διδασκαλία αὐτῶν διηρημένη, καὶ καλεῖται ἡ μὲν ἀνατολική τις διδασκαλία κατ' αὐτούς, ἡ δὲ ἰταλιωτική. Οἱ μὲν ἀπὸ τῆς Ἰταλίας, ὧν ἐστὶν Ἡρακλέων καὶ Πτολεμαῖος, ψυχικόν φασι τὸ σῶμα τοῦ Ἰησοῦ γεγονέναι, καὶ διὰ τοῦτο ἐπὶ τοῦ βαπτίσματος τὸ Πνεῦμα ὡς περιστερὰ κατελήλυθε, τουτέστιν ὁ Λόγος ὁ τῆς μητρὸς ἄνωθεν τῆς Σοφίας, καὶ γέγωνε τῷ ψυχικῷ, καὶ ἐγήγερκεν αὐτὸν ἐκ νεκρῶν. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· « Ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν, ζωο-« ποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν καὶ τὰ ψυχικά. » Ὁ χοῦς γὰρ ὑπὸ κατάραν ἐλήλυθε· « Γῆ γάρ, φησίν, εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. » Οἱ δ' αὖ ἀπὸ τῆς ἀνατολῆς λέγουσιν, ὧν ἐστὶν Ἀξιόνικος καὶ Βαρδησιάνης, ὅτι πνευματικὸν ἦν τὸ σῶμα τοῦ Σωτῆρος· Πνεῦμα γὰρ

pararet et exiret Verbum cœleste ex Ogdoade, natum ex Maria. Hoc apud Valentinianos initium dedit magnæ quæstioni et disceptationibus et dissidiis. Inde enim scholæ eorum divisio : una vocatur apud eos orientalis, altera autem italica. Qui ex Italia sunt (quos inter Heracleon et Ptolemæus celebrantur) dicunt corpus Jesu natum fuisse psychicum (animale) et propterea in baptismate Spiritum ut columbam descendisse, qui quidem fuit Verbum matris cœlestis Sapientiæ. Quod Verbum clamavit psychico corpori et illud suscitavit ex mortuis, et illud est, ut aiunt, quod dictum est : « Qui resusci-« tavit Christum a mortuis vivificabit et mortalia corpora vestra et psychica. » Limus enim maledictioni devotus erat : « Terra es, et in terram reverteris. » Qui orientalis scholæ placita amplexi sunt, quos inter innotuerunt Axionicus et Bardesianes, dicunt spirituale fuisse corpus Redemptoris. Nam Spiritus

9. γέγονε cod. Mill. Legend. γέγωνε ob sequentia. — 10-11. B. Pauli ad Rom. VIII, 11. — 12. *Gen.* III, 19. — 13 sqq. Conf. excerpta ex Theodoto et ex vetustissimis Valentinianorum scholæ orientalis libris, apud Bunsenium (*Analecta Ante Nic.* I, p. 203-278). Axionici mentio est apud solum Tertullianum cujus cœvus erat. Antiochiæ autem claruit. Vide Tert. cont. Valent. c. IV. Ἀρδησιάνης cod. Mill.; Βαρδησιάνης Syrus Edessæ floruit circa annum 172. « Eum dicit Eusebius Valen-« tini hæresim primo secutum esse; cu-« jus quum errorem postea coarguisset et « commentitias fabulas confutasset, vide-« batur se ad meliorem sententiam trans-« tulisse. Sed veteres errores non penitus « eluerat. » (*Hist. eccles.* lib. IV, c. XXVIII.)

Ἅγιον ἦλθεν ἐπὶ τὴν Μαρίαν, τουτέστιν ἡ Σοφία καὶ ἡ δύναμις τοῦ Ὑψίστου ἡ δημιουργικὴ τέχνη, ἵνα διαπλασθῇ τὸ ὑπὸ τοῦ Πνεύματος τῇ Μαρίᾳ δοθέν.

36. Ταῦτα οὖν ἐκεῖνοι ζητείτωσαν κατ' αὐτοὺς καὶ εἴ τινι ἄλλῳ γέγηται φίλον ζητεῖν. Ἀλλ' ἔτι λέγει ὡς διώρθωτο μὲν τὰ κατὰ τοὺς Αἰῶνας ἔσω σφάλματα, διώρθωτο δὲ καὶ [τὰ] κατὰ τὴν Ὀγδοάδα τὴν ἔξω Σοφίαν, διώρθωτο δὲ καὶ [τὰ] κατὰ τὴν Ἑβδομάδα· ἐδιδάχθη γὰρ ὑπὸ τῆς Σοφίας ὁ Δημιουργός, ὅτι οὐκ ἔστιν αὐτὸς Θεὸς μόνος ὡς ἐνόμιζε, (196) καὶ πλὴν αὐτοῦ ἕτερος (οὐκ) ἔστιν· ἀλλ' ἔγνω διδαχθεὶς ὑπὸ τῆς Σοφίας τὸν κρείττονα· κατηχήθη γὰρ ὑπ' αὐτῆς, καὶ ἐμυήθη καὶ ἐδιδάχθη τὸ μέγα τοῦ Πατρὸς καὶ τῶν Αἰώνων μυστήριον, καὶ ἐξεῖπεν αὐτὸ οὐδενί, τουτέστιν, ὡς φησιν, ὃ λέγει πρὸς Μωϋσῆν, « Ἐγὼ ὁ « Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ, καὶ τὸ ὄνομά « μου οὐκ ἀπήγγειλα αὐτοῖς, » τουτέστι τὸ μυστήριον οὐκ εἶπα, οὐδὲ ἐξηγησάμην τίς ἐστὶν ὁ Θεός, ἀλλ' ἐφύλαξα παρ' ἐμαυτῷ ἐν ἀποκρύφῳ τὸ μυστήριον ὃ ἤκουσα παρὰ τῆς Σοφίας. Ἔδει οὖν διορθωμένων τῶν ἄνω κατὰ τὴν αὐτὴν ἀκολουθίαν καὶ τὰ ἐνθάδε τυχεῖν

Sanctus supervenit in Mariam, id est Sapientia et virtus Altissimi, ars Demiurgi, ut formaretur quod a Spiritu Mariæ datum est.

36. Hæc igitur isti quærant inter se et si quis sit cui hæc quærere placeat. Addit etiam Valentinus quomodo emendati fuerint errores apud Æones qui intus sunt, et quomodo apud Ogdoadem, exteriorem Sapientiam, et quomodo apud Hebdomadem fuerint emendati. Demiurgus enim didicit a Sapientia se non esse solum Deum ut quidem existimaverat et præter illum alterum esse; at a Sapientia doctus cognovit fortiorem : nam a Sapientia institutus et initiatus est et edoctus magnum Patris et Æonum mysterium; quod ille nemini dixit; idque, ut ait Valentinus, confessus est ad Moysem : « Ego Deus Abraham et Deus Isaac et Deus Jacob et nomen meum non re- « velavi eis. » Id est mysterium non dixi, nec narravi quis sit Deus, sed in memetipso et in secreto custodivi mysterium quod a Sapientia didici. Oportuit igitur, emendatis omnibus quæ superna sunt, consequenti ratione ea

4. ζητήτωσαν cod. — 5. ἐπεὶ λέγει cod.; ἐπιλέγει conj. Mill.; ἔτι λέγει Bunsen. — 6-7. [τὰ] add. — 9. οὐκ delendum. — 10. κατήχθη cod. Mill.; κατηχήθη Bunsen.

διορθώσεως. Τούτου χάριν ἐγεννήθη Ἰησοῦς ὁ Σωτὴρ διὰ τῆς Μαρίας, ἵνα διορθώσηται [τὰ] ἐνθάδε ὥσπερ ὁ Χριστός, ὁ ἄνωθεν ἐπιπροβληθεὶς ὑπὸ τοῦ Νοὸς καὶ τῆς Ἀληθείας, διωρθώσατο τὰ πάθη τῆς ἔξω Σοφίας, τουτέστι τοῦ Ἐκτρώματος· καὶ πάλιν ὁ διὰ Μαρίας γεγεννημένος ὁ Σωτὴρ ἦλθε διορθώσασθαι τὰ πάθη τῆς ψυχῆς. Εἰσὶν οὖν [κατ' αὐτοὺς] τρεῖς Χριστοί, ὁ ἐπιπροβληθεὶς ὑπὸ τοῦ Νοὸς καὶ τῆς Ἀληθείας μετὰ τοῦ Ἁγίου Πνεύματος, καὶ ὁ κοινὸς τοῦ Πληρώματος καρπὸς ἰσόζυγος τῆς ἔξω Σοφίας, ἥτις καλεῖται καὶ αὐτὴ Πνεῦμα Ἅγιον ὑποδεέστερον τοῦ πρώτου· καὶ τρίτος ὁ διὰ Μαρίας γεννηθεὶς εἰς ἐπανόρθωσιν τῆς κτίσεως τῆς καθ' ἡμᾶς.

37. Διὰ πλειόνων νομίζω αὐτάρκως τὴν Οὐαλεντίνου αἵρεσιν Πυθαγόρειον οὖσαν ὑποτετυπῶσθαι· δοκεῖ δὲ καὶ δι' ἐλέγχων τὰ δοκοῦντα αὐτοῖς ἐκθέμενον παύσασθαι. Πλάτων τοίνυν περὶ τοῦ παντὸς ἐκτιθέμενος μυστήρια γράφει πρὸς Διονύσιον τοιοῦτον τινὰ τρόπον λέγων·[197] «Φραστέον δή σοι δι' αἰνιγμάτων, ἵν' ἄν τι ἡ δέλτος

quoque emendari quæ sunt in hoc orbe posita : quapropter natus est Jesus Salvator ex Maria, ut hæc inferiora emendaret sicut Christus qui ex Intelligentia et Veritate desuper projectus emicuit ut corrigeret quæ passa est externa Sapientia, id est Abortus : rursum autem Jesus ex Maria natus venit correctum culpas animæ. Sunt igitur secundum eos tres Christi : Primus qui ex Intelligentia et Veritate cum Sancto Spiritu exortus est; secundus communis ille Pleromatis fructus, æqualis externæ Sapientiæ, qui etiam vocatur Spiritus Sanctus, sed primo inferior; tertius qui natus est ex Maria ad emendationem hujus orbis nostri.

37. Jam arbitror pluribus argumentis et satis demonstravisse hæresim Valentini ex Pythagoricis disciplinis esse depromptam. Placet autem documentis demum allatis finem facere expositionis illorum dogmatum. Plato igitur de totius mundi natura exponens mysteria scribit ad Dionysium hoc fere tenore : «Dicendum igitur tibi per ænigmata, ut si quid huic tabellæ vel mari

2. [τὰ] addidit Buns. — 5. πλήθη cod. Mill. Legendum πάθη. Hæc fragmenta (§§ 36-37) videntur secunda manu addita fuisse. — 15. Plat. Epist. II, t. IX, p. 76, edit. Bekker. Londini, 1826. Cujus editionis versionem latinam hic exscripsi, quibusdam mutatis. – αἰνιγμάτων cod.; αἰνιγμῶν Plat. edit.

« ἢ πόντου [ἢ γῆς] ἐν πλυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ· ὧδε γὰρ
« ἔχει· περὶ τὸν πάντων βασιλέα πάντα ἐστί, κἀκείνου ἕνεκα πάντα·
« κἀκεῖνος αἴτιος πάντων τῶν καλῶν. Δεύτερον περὶ τὰ δεύτερα, καὶ
« τρίτον περὶ τὰ τρίτα. Τοῦ δὲ βασιλέως πέρι, ὧν εἶπον οὐδέν ἐστι
« τοιοῦτον. Τὸ δὲ μετὰ τοῦτο ἡ ψυχὴ ἐπιζητεῖ μαθεῖν ὁποῖα ἄτλα
« ἐστί, βλέπουσα εἰς τὰ ἑαυτῆς συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. Τοῦτ'
« ἔστιν, ὦ παῖ Διονυσίου καὶ Δωρίδος, τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν
« ἐστι κακῶν· μᾶλλον δὲ ἡ περὶ τούτου Φροντὶς ἐν τῇ ψυχῇ ἐγγιγνο-
« μένη, ἣν ἐὰν μή τις ἐξαιρεθῇ, τῆς ἀληθείας ὄντως οὐ μή ποτε τύχῃ.
« Ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν, [ἄκουσον]. Εἰσὶ γὰρ ἄνδρες ταῦτα
« ἀκηκοότες, μαθεῖν [μὲν δυνατοί], δυνατοὶ δὲ μνημονεῦσαι καὶ βασα-
« νίσαντες πάντη πάντως κρῖναι γέροντες ἤδη· οἳ φασι τὰ μὲν τότε
« πιστὰ εἶναι δόξαντα, νῦν ἄπιστα, τὰ δὲ τότε ἄπιστα, νῦν τοὐναν-
« τίον. Πρὸς ταῦτα οὖν σκοπῶν εὐλαβοῦ μή ποτε σοὶ μεταμελήσῃ

« vel terra contingat, qui eam legerit intelligere non valeat. Est autem ita :
« circa omnium regem cuncta sunt et ipsius gratia omnia ; ipse pulchrorum
« omnium causa. Circa secundum secunda : tertia circa tertium. Sed in rege
« ipso eorum quæ dixi nihil est tale. Postea autem animus affectat intelligere
« qualia illa sint, aspiciens in ea quæ sibi cognata sunt quorum nihil suffi-
« cienter se habet. Hæc tua interrogatio est, Dionysii et Doridis fili, quæ
« malorum omnium causa est. Immo vero magis hujus stimulus quidam
« animo nostro ingenitus ; quem nisi quis eruat veritatem certe non assequé-
« tur. Quod autem in hac re est mirabile id audi : sunt complures homines
« qui ista jam audiverant, pollentes acumine, pollentes memoria, in exami-
« nando et judicando sollertes, provecti jam ætate : hi affirmant quæ tunc cre-
« dibilia videbantur, nunc incredibilia ; quæ tunc incredibilia, ea nunc sibi
« contra videri. Hæc igitur intuens cave ne quando te pœniteat eorum quæ

1. [ἢ γῆς] add. Millerus ex Plat. — 2. πάντ' ἐστί, καὶ ἐκείνου Plat. — 3. καὶ ἐκεῖνο αἴτιον ἁπάντων Plat. – Δεύτερον δὲ περί Plat. — 4. περὶ ὧν cod. ; περὶ καὶ ὧν Plat. — 8. φροντὶς cod. ; ὠδὶς Plat. — 8-9. ἐνγινομένη cod. ; ἐγγιγνομένη Plat. — 9. εἰ μή τις ἐξαιρεθήσεται Plat. – τύχοι Plat. ; τύχῃ cod. Hic triginta et octo lineas prætermisit vel noster vel librarius. — 10. [ἄκουσον] ex Plat. restit. Mill. — 11. ἀκηκοότες καὶ πλείους Plat. – [μὲν δυνατοί] restit. Millerus ex Plat. — 11-12. βασανίσαι cod. — 12. κρίνει γέροντος cod. Hic rursus plura prætermissa in cod. quæ sunt in Plat.

« τῶνδε ἀναξίως ἐκπεσόντων. Διὰ τοῦτο ἐγὼ περὶ τούτων γέ|γραφα « οὐ|δέν, οὐδὲ ἔσ|τι Πλάτωνος σύγγραμμα οὐδέν, οὐδὲ ἔσ|ται πώποτε. « Τὰ δὲ νῦν λεγόμενα Σωκράτους ἐσ|τὶ καλοῦ καὶ νέου γεγονότος. » Τούτοις περιτυχὼν Οὐαλεντῖνος ὑπεσ|ήσατο τὸν πάντων βασιλέα, ὃν ἔφη Πλάτων οὗτος, Πατέρα καὶ Βυθὸν καὶ προαρχὴν τῶν ὅλων Αἰώνων. Δεύτερον [198] περὶ τὰ δεύτερα τοῦ Πλάτωνος εἰρηκότος, τὰ δεύτερα Οὐαλεντῖνος τὸ ἐντὸς ὅρου Πλήρωμα ὑπέθετο πάντας Αἰῶνας, καὶ τρίτον περὶ τὰ τρίτα τὴν ἔξω τοῦ ὅρου καὶ τοῦ Πληρώματος διαταγὴν συνέθηκε πᾶσαν· καὶ δεδήλωκεν αὐτὴν δι' ἐλαχίσ|σίων Οὐαλεντῖνος ἐν ψαλμῷ κάτωθεν ἀρξάμενος, οὐχ ὥσπερ ὁ Πλάτων ἄνωθεν, λέγων οὕτως·

Ἀέρος πάντα βλέπω κρεμάμενα,

« tibi indigne exciderunt. Quapropter nihil ego de istis scripsi unquam : « neque est Platonis perscriptum opus ullum neque erit. Quæ autem modo « dicuntur Socratis sunt dum juvenis esset et virtute clarus. » Hæc igitur reperiens Valentinus excogitavit omnium regem de quo Plato disseruit Patrem esse et Abyssum (Bython), et principium cunctorum Æonum. Quum autem dixisset Plato circa secundum secunda esse, supposuit Valentinus hæc secunda esse omnes Æones qui partem interiorem finis occupant, et circa tertium tertia esse partem exteriorem termini et totum Pleromatis ordinem. Hæc paucissimis quidem verbis exposuit Valentinus in Psalmo quodam, ab inferiori parte exorsus, non Platonis ad instar qui a superiori incipit. Dicit autem in hunc modum :

Ex aere omnia video pendere,

1. Post ἐκπεσόντων, apud Plat. legitur : μεγίσ|η δὲ φυλακὴ τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν· οὐ γάρ ἐσ|τι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν. Ex hoc epistolæ exemplo liquidius apparet quantula fides nostro et auctoribus ab illo allatis adhibenda sit. — 5. καὶ πᾶσι γῆν τῶν ὅλων cod. Ex B. Epiph. et ex Theodor. liquet προαρχὴν hic restituendum. Apud B. Epiphan. legimus : Βυθὸν τοῦτον ἀρχὴν τῶν πάντων (t. II, lib. I), et infra : πατέρα καὶ ἀρχὴν τῶν πάντων, et apud Theod. : ὃν καὶ προαρχὴν καὶ προπατέρα καὶ Βυθὸν καλεῖ. Bernays. proposuerat Σιγὴν et Scottus πλάσ|ην. Sed omnium rerum quæ sunt in terra πλάσ|ης dici potest (πλάσ|ην γίνεσθαι καὶ γεννήτορα τῶν ἐπὶ τῆς γῆς); spiritualium autem entium, id est Αἰώνων, non dicitur πλάσ|ης. — 7. τοῦ ἐντὸς ὅρου τὸν ὅρον cod. Legendum est ut recte censet Buns. τὸ ἐντὸς ὅρου Πλήρωμα. — 12. Gnostici hymni fragmentum hic habemus, ut viderunt P. Bœtticher et Bunsenius. Primus versus in cod. et apud

πάντα δ' ὀχούμενα πνεύματι νοῦ,
σάρκα μὲν ἐκ ψυχῆς κρεμαμένην,
ψυχὴν δ' ἀέρος ἐξεχομένην,
ἀέρα δ' ἐξ αἴθρης κρεμάμενον,
ἐκ δὲ βυθοῦ καρποὺς φερομένους,
ἐκ μήτρας δὲ βρέφος φερόμενον.

Οὕτως ταῦτα νοῶν· σὰρξ ἐστὶν ἡ ὕλη κατ' αὐτούς, ἥτις κρέμαται ἐκ τῆς ψυχῆς τοῦ Δημιουργοῦ. Ψυχὴ δὲ ἀέρος ἐξέχεται, τουτέστιν ὁ Δημιουργὸς τοῦ πνεύματος ἔξω Πληρώματος. Ἀὴρ δὲ αἴθρης ἐξέχεται, τουτέστιν ἡ ἔξω Σοφία τοῦ ἐντὸς ὅρου καὶ πάντὸς Πληρώματος. Ἐκ δὲ Βυθοῦ καρποὶ φέρονται, ἡ ἐκ τοῦ Πατρὸς πᾶσα προβολὴ τῶν Αἰώνων γενομένη. Τὰ μὲν οὖν τῷ Οὐαλεντίνῳ δοκοῦντα ἱκανῶς λέλεκται· [λοῖπον δὲ] τὰ δόξαντα τοῖς [ἐκ τῆς αὐτοῦ] σχολῆς προκύψασιν ἐξειπεῖν, ἄλλου ἄλλως δογματίσαντος.

et spiritu omnia sustineri perspicio:
carnem quidem ex anima pendere,
animam vero ex aere emicare,
aera autem ex æthere pendere,
ex abysso fructus prolatos,
et ex matrice infantem prolatum.

Hæc ita intelligit: caro est materia secundum eos, quæ ex anima Demiurgi pendet. Anima ex aere emicat, id est Demiurgus spiritu exoritur extra Pleroma. Aer ex æthra exoritur, id est externa Sapientia ex interno fine et toto Pleromate exoritur. Fructus ex abysso prolati sunt, id est tota emanatio Æonum ex Patre nata. Hæc sunt igitur Valentini dogmata. Reliquum est autem ut exponamus placita eorum qui ex ejus schola prodierunt, alio aliter docente.

Mill. sic legitur: *θέρος πάντα κρεμάμενα πνεύματι βλέπω*; quæ sic correxit Buns.: *Αἴθρης πάντα βλέπω κρεμάμενα.* Jure censuit *πνεύματι* glossam esse, aut ex eis quæ sequuntur male huc translatum. Pro *θέρος* Scottus legit *ἀέρος*, Buns. *αἴθρης* et Dunck. *αἰθέρος*. — 3. *ψυχὴν δὲ ἀέρος ἐξειχουμένην* cod.; *ἐξοχουμένην* Miller.; *ἐξεχομένην* Bunsen. — 13-14. Hæc corrupta et turbata in cod. sic leguntur: *λέλεκται σχολῆς προκύψασιν ἐξειπεῖν ἄλλου ἄλλως δογματίσαντος τὰ δόξαντα αὐτοῖς.* Ultima verba e loco suo videntur commutata et supra reponenda. Post *λέλεκται* Bunsen. conjicit *μακρὸν δὲ τὰ δοκοῦντα τοῖς ἐκ τῆς κ. τ. λ.* Quæ parum apta videntur. Nam disserit noster de Valentini scholæ *successoribus*. Hoc enim nomine hæreticos vocat quos jam adduxit. Vide ad finem hujusce libri: *Μάρκος τε καὶ Κο-*

γ'. Περὶ Σεκούνδου καὶ Ἐπιφάνους.

38. Σεκοῦνδος μέν τις, κατὰ τὸ αὐτὸ ἅμα τῷ Πτολεμαίῳ γενόμενος οὗτος, λέγει τετράδα εἶναι δεξιὰν καὶ τετράδα ἀριστεράν, καὶ φῶς, καὶ σκότος· καὶ τὴν ἀποστᾶσαν δὲ καὶ ὑστερήσασαν Δύναμιν οὐκ ἀπὸ τῶν τριάκοντα Αἰώνων λέγει γεγενῆσθαι, ἀλλὰ ἀπὸ τῶν καρπῶν αὐτῶν. Ἄλλος δέ τις Ἐπιφάνης διδάσκαλος αὐτῶν οὕτως λέγει· « Ἦν ἡ πρώτη ἀρχὴ ἀνεννόητος, ἄῤῥητός τε καὶ ἀνωνόμα-« στος, » ἣν Μονότητα καλεῖ· ταύτῃ [199] [δὲ συνυπάρχ]ειν δύναμιν, ἣν ὀνομάζει Ἑνό[τητα]. Αὕτη ἡ Ἑνότης ἥ τε Μονότης προήκαντο μὴ προέμεναι ἀρχὴν ἐπὶ πάντων νοητῶν ἀγέννητόν τε καὶ ἀόρατον, ἣν [ὁ λόγος] Μονάδα καλεῖ. « Ταύτῃ τῇ δυνάμει συνυπάρχει δύναμις « ὁμοούσιος αὐτῇ, ἣν καὶ αὐτὴν ὀνομάζω τὸ Ἕν. Αὗται αἱ τέσσαρες « Δυνάμεις προήκαντο τὰς λοιπὰς τῶν Αἰώνων προβολάς. » Ἄλλοι δὲ

III. DE SECUNDO ET EPIPHANE.

38. Secundus quidam eodem tempore Ptolemæo æqualis dicit esse quaternionem dextrum et quaternionem sinistrum, et lumen et tenebras; et Potestatem quæ deficit et destituta est dicit non a triginta Æonibus esse ortam sed a fructibus eorum. Alius autem, Epiphanes quidam, magister eorum, ita disserit, « Erat primum principium incomprehensibile, inenarra-« bile et innominabile, » quod Solitatem vocat; cum hac Solitate virtus est quædam quam ipsam vocat Unitatem. Solitas et Unitas protulerunt, non proferendo ex se, initium omnium rerum intellectualium ingenitum et invisibile, quod Monas vocatur. « Cum hac porro Monade simul existit potestas « ejusdem cum ea essentiæ, quam et ipsam Unum voco. Hæ quatuor Potes-« tates reliquum Æonum gregem produxerunt. » Alii rursus ex ipsis primam

λάβρασος οἱ τῆς Οὐαλεντίνου Σχολῆς διάδοχοι. Inde legendum esse censeo λοιπὸν δὲ τὰ δόξαντα κ. τ. λ. — Cap. III, tit. De Secundo et Epiphane lege : B. Iren. lib. I, § 11; Theodor. *Hær. fab.* lib. I, §§ 5-9; B. Epiphan. XXXII, §§ 1, 3, 4; B. August. *Hær.* XI; Præd. § 12. — 1. Hæc de Secundo et Epiphane noster e B. Irenæi mutuatus est. — 2. οὗτως cod.; οὕτος Mill. — 5. Ἐπιφανὴς cod. Mill. — 7. ἣν Μονότατα καλεῖ cod. Uncis inclusa ex Iren. restit. Mill. — 8. ὀνομάζει cod. B. Iren. habet ὀνομάζω. – εἴ τε cod. pro ἥ τε. — 10. ἣν Μονάδα cod. B. Iren. habet: ἣν ὁ λόγος καλεῖ. Quod Tertullianus sic latine vertit : quod sermo vocat (cont. Val. 37). — 11. Hæc in codice turbata sunt. Mill. legit : ὁμοούσιος· αὕτη, ἣν καὶ αὐτὴν κ. τ. λ. quod non liquet. B. Iren. habet : ὁμοούσιος αὐτῇ, ἣν...

πάλιν αὐτῶν τὴν πρώτην καὶ ἀρχέγονον Ὀγδοάδα τούτοις τοῖς ὀνόμασιν ἐκάλεσαν· [πρῶτον Προαρχήν, ἔπειτα Ἀνεννόητον, τὴν δὲ τρίτην Ἄῤῥητον καὶ τὴν] τετάρτην Ἀόρατον. Καὶ ἐκ μὲν τῆς πρώτης Προαρχῆς προβεβλῆσθαι πρώτῳ καὶ πέμπτῳ τόπῳ Ἀρχήν· ἐκ δὲ τῆς Ἀνεννοήτου, δευτέρῳ καὶ ἕκτῳ [τόπῳ], Ἀκαταλήπτου· ἐκ δὲ τῆς Ἀῤῥήτου, τρίτῳ καὶ ἑβδόμῳ τόπῳ, Ἀνωνόμαστον· ἐκ δὲ τῆς Ἀοράτου, Ἀγέννητον. Πλήρωμα τῆς πρώτης Ὀγδοάδος. Ταύτας βούλονται τὰς δυνάμεις προϋπάρχειν τοῦ Βυθοῦ καὶ τῆς Σιγῆς. Ἄλλοι δὲ περὶ αὐτοῦ τοῦ Βυθοῦ διαφόρως ἐννοούμενοι, οἱ μὲν αὐτὸν ἄζυγον λέγουσι, μήτε ἄῤῥενα μήτε θῆλυν, ἄλλοι δὲ τὴν Σιγὴν θήλειαν αὐτῷ συμπαρεῖναι καὶ εἶναι ταύτην πρώτην συζυγίαν.

δ'. Περὶ τοῦ Πτολεμαίου.

39. Οἱ δὲ περὶ τὸν Πτολεμαῖον δύο συζύγους αὐτὸν ἔχειν λέ-

ac primigeniam Ogdoadem his nominibus appellandam dixerunt : Primum Principium (Proarchen), deinde Incomprehensibile; tertio Inenarrabile; quarto Invisibile : ex primo Primordio ortum esse primo et quinto loco Initium; ex Incomprehensibili secundo et sexto loco Indeprehensibile; ex Inenarrabili, tertio et septimo loco Innominabile; ex Invisibili denique Ingenitum. Pleroma primæ Ogdoadis. Atque has virtutes Bytho etiam et Sige (Abysso et Silentio) antiquiores esse volunt. Alii rursus de Bytho in diversas sententias eunt. Quos inter alii conjugis expertem esse dicunt, nec marem nec feminam; alii Sigen (Silentium) ei conjugem adjungunt, et hanc esse primam conjugationem.

IV. DE PTOLEMÆO.

39. Ptolemæus vero duas conjuges (Bython) habere dicit, quas et dis-

1. ἀρχαιόγονον cod.; B. Iren. ἀρχέγονον. — 1-3. τοῖς ὀνόμασιν ἐκάλεσαν τετάρτην ἀόρατον cod. Mill. Bunsenius recte conjecit hic plura deesse; quæ ex B. Irenæo restitui. — 8. τῆς γῆς cod. Mill. pro τῆς Σιγῆς. — 9. ἀδιαφόρως κινούμενοι cod. Miller. qui conj. διαφόρως μυούμενοι. Legendum suspicor ἐννοούμενοι. B. Iren. habet : πολλαὶ καὶ διάφοροι γνῶμαι. — Cap. IV, tit. De Ptolemæo conf. B. Iren. lib. I, c. XII; Tertull. *De Præs.* c. XLIX; Advers. Valent. c. VIII; B. Epiph. *Hær.* c. XXXIII, §§ 3-7; Theod. *Hæret. fab.* lib. I, c. VIII; Præd. c. II.

γουσιν, ἃς καὶ διαθέσεις καλοῦσιν, Ἔννοιαν καὶ Θέλησιν. Πρῶτον γὰρ ἐνενοήθη τι προβαλεῖν, ὡς φασιν, ἔπειτα ἠθέλησε. Διὸ καὶ τῶν δύο τούτων διαθέσεων καὶ δυνάμεων, τῆς τε Ἐννοίας καὶ τῆς Θελήσεως, ὥσπερ κραθεισῶν εἰς ἀλλήλας, ἡ προβολὴ τοῦ τε Μονογενοῦς καὶ τῆς Ἀληθείας κατὰ συζυγίαν ἐγένετο, οὕστινας τύπους καὶ εἰκόνας τῶν δύο διαθέσεων τοῦ Πατρὸς διελθεῖν ἐκ τῶν ἀοράτων ὁρατάς, τοῦ μὲν Θελήματος, τὸν Νοῦν, τῆς δὲ Ἐννοίας, τὴν Ἀλήθειαν· καὶ [200] διὰ τοῦτο τοῦ ἐπιγεννητοῦ Θελήματος ὁ ἄῤῥην εἰκών, τῆς δὲ ἀγεννήτου Ἐννοίας ὁ Θῆλυς, ἐπεὶ τὸ Θέλημα ὥσπερ δύναμις ἐγένετο τῆς Ἐννοίας. Ἐννοεῖν μὲν γὰρ ἀεὶ ἡ Ἔννοια τὴν προβολήν, οὐ μέντοι γε προβάλλειν αὐτὴ καθ' ἑαυτὴν ἠδύνατο ὅ ἐνενοεῖτο. Ὅτε δὲ ἡ τοῦ Θελήματος δύναμις [ἐπεγένετο], τότε [ὃ] ἐνενοεῖτο προβάλλει.

ε'. Περὶ Μάρκου.

40. Ἄλλος δέ τις διδάσκαλος αὐτῶν Μάρκος, μαγικῆς ἔμπειρος,

positiones vocat, Cogitationem et Voluntatem. Primum enim in animum induxit aliquid proferre, ut aiunt, deinde voluntas secuta est. Quare duabus hisce affectibus, vel virtutibus hoc est Cogitatione et Voluntate, velut inter se copulatis, Monogenis et Veritatis emissio per conjugationem facta est. Quos quidem visibiles duorum invisibilium Patris affectionum typos et imagines prodiisse, Voluntatis quidem Intelligentiam, Cogitationis autem Veritatem. Ac propterea adventitiæ Voluntatis masculus imago exstitit; increatæ autem Cogitationis, feminea. Voluntas quasi Cogitationis virtus effecta est. Cogitatio etenim productionem sibi semper proponere quidem, sed per semetipsam producere non poterat quæcumque sibi proponebat. Quum autem voluntatis facultas accessit, quod cogitabat in ortum producit.

V. DE MARCO.

40. Alius quidam magister eorum Marcus, magicæ artis peritus, tum ma-

3. διαθέσεως καὶ δυνάμεως cod. — 4. ὡς περικραθείς cod. — 5. ὅς τινας cod. Mill.; οὕς τινας B. Iren. — 8. ἀῤῥηνικός cod. Miller.; ἄῤῥην εἰκὼν B. Iren. — 9. ἐπὶ cod. Mill. — 10. Ἐννοεῖν cod. Mill.; Ἐνενόει B. Iren. — 11. αὐτὴν κατ' αὐτὴν cod. Miller.; αὐτὴ καθ' ἑαυτὴν B. Iren. — ἠδύνατο, ἀλλὰ ἐνενοεῖτο cod. Miller.; ἃ ἐνενοεῖτο B. Iren. — 12. [ἐπεγένετο] et [ὃ] restituta ex B. Iren. — Cap. v, tit. De Marco lege B. Iren. lib. I, c. XII-XVIII; Tertullianum, *De Præscript.* c. L; B. Epiph.

ἃ μὲν διὰ κυβείας αἰωρῶν, ἃ δὲ καὶ διὰ δαιμόνων, ἠπάτα πολλούς. Οὗτος ἔλεγεν ἐν αὐτῷ τὴν μεγίστην ἀπὸ τῶν ἀοράτων καὶ ἀκατονομάστων τόπων εἶναι δύναμιν. Καὶ δὴ πολλάκις λαμβάνων ποτήριον ὡς εὐχαριστῶν, καὶ ἐπὶ πλεῖον ἐκτείνων τὸν λόγον τῆς ἐπικλήσεως, πορφύρεον τὸ κέρασμα ἐποίει φαίνεσθαι, καί ποτε ἐρυθρόν, ὡς δοκεῖν τοὺς ἀπατωμένους χάριν τινὰ κατιέναι καὶ αἱματώδη δύναμιν παρέχειν τῷ πόματι. Ὁ δὲ πανοῦργος τότε μὲν πολλοὺς ἔλαθε, νυνὶ δὲ ἐλεγχόμενος παύσεται· Φάρμακον γάρ τι τοιαύτην δυνάμενον χροὰν παρασχεῖν λαθραίως ἐνιῶν τῷ κεράσματι, ἐπιπολὺ φλυαρῶν ἀνέμενεν, ὅπως τῆς ὑγρότητος μεταλαβὸν λυθῇ καὶ ἀναμιγὲν ἐπιχρωτίσῃ τὸ πόμα. Τὰ δὲ δυνάμενα τοῦτο παρασχεῖν Φάρμακα ἐν τῇ κατὰ μάγων βίβλῳ προείπομεν, ἐκθέμενοι ὡς πολλοὺς πλανῶντες ἀφανίζουσιν, οἷς εἰ φίλον περιεργότερον τῷ εἰρημένῳ προσεπισχεῖν, εἴσονται τὴν Μάρκου πλάνην.

gicis præstigiis, tum dæmonum auxilio, multos seduxit. Is dicebat sese vim maximam ab iis locis qui nec oculis cerni nec ullo nomine exprimi possunt consecutum. Sæpius poculum assumens et quasi vellet consecrare, invocationis verba in longius protendens, efficiebat ut mixtura purpurea appareret et aliquando rubicunda, quibus artificiis delusi crederent spectatores gratiam quamdam descendere et vim sanguineam communicare potioni. Tunc scelestus ille multos fallebat, sed jam non amplius poterit utpote convictus. Pigmentum quoddam enim, quo posset color talis præberi, secreto injiciens in mixturam et plura garriens, exspectabat donec pigmentum istud humorem accipiens solveretur et diffusum coloraret potionem. De his autem pigmentis quibus color infundi potest in superiori libro contra magos diximus, et monstravimus quomodo permulti in errorem inducantur; et isti, si quidem volent attentius iis quæ dicta sunt a nobis animum attendere, cognoscent Marci fraudes.

Hær. XXXIV; Theod. *Hæret. fabul.* lib. I, c. IX. Cf. etiam B. Aug. *Hær.* c. XIV; *Prædest.* c. XIV; B. Hieron. epist. XXIX. — 1. δώρων cod. Mill. Legendum suspicor αἰωρῶν, quod uncialibus litteris scriptum facillime confunditur cum δώρων. Sed forsitan δόλων, quo noster alluderet Marci artibus vertentis vinum in sanguinem. Lucas scripsit δολώσαντες τὸν οἶνον. Bunsenius legit δρῶν; Dunckerus ἐνεργῶν, quod noster infra usurpat, eadem repetens : ὅτε μὲν καὶ διὰ δαιμόνων ταῦτα ἐνεργῶν, ὅτε δὲ καὶ κυβεύων... p. 307, l. 10. — 9. λαθρέως cod. — 10. μεταβαλών cod. Mill. corr. — 11. ἐπιχωρίσῃ cod. Millerus corr.

41. Ὃς καὶ ποτήριον παρ' ἑτέρου κιρνῶν, ἐδίδου γυναικὶ εὐχαριστεῖν αὐτὸς παρεστώς, καὶ ἕτερον κρατῶν ἐκείνου μεῖζον κενὸν καὶ εὐχαριστησάσης τῆς ἀπατωμένης δεξάμενος [201] ἐπέχει εἰς τὸν μείζω, καὶ πολλάκις ἀντεπιχέων ἕτερον εἰς ἕτερον, ἐπέλεγεν οὕτως· « Ἡ « πρὸ τῶν ὅλων, [ἡ] ἀνεννόητος καὶ ἄῤῥητος χάρις πληρώσαι σου « τὸν ἔσω ἄνθρωπον, καὶ πληθύναι ἐν σοὶ τὴν γνῶσιν αὐτῆς, ἐγκατασπείρουσα τὸν κόκκον τοῦ σινάπεως εἰς τὴν ἀγαθὴν γῆν. » Καὶ τοιαῦτά τινα ἐπειπὼν καὶ ἐκστήσας τήν τε ἀπατωμένην καὶ τοὺς παρόντας, ὡς θαυματοποιὸς ἐνομίζετο, τοῦ μείζονος ποτηρίου πληρουμένου ἐκ τοῦ μικροτέρου, ὡς καὶ ὑπερχεῖσθαι πλεονάζον. Καὶ τούτου δὲ τὴν τέχνην ὁμοίως ἐν τῇ προειρημένῃ βίβλῳ ἐξεθέμεθα, δείξαντες πλεῖστα φάρμακα δυνάμενα αὔξησιν παρασχεῖν ἐπιμιγέντα οὕτως ὑγραῖς οὐσίαις, μάλιστα οἴνῳ κεκερασμένῳ, ὧν ἔν τι φάρμακον ἐν τῷ κενῷ ποτηρίῳ κρύβδην [ἔμπροσθεν ἐπιχρίσας], ὡς μηδὲν ἔχον δείξας, ἐπιχέων ἐκ [τοῦ ἑτέρου] καὶ ἐπαναχέων ἀναλυομένου τοῦ φαρμάκου ὑπὸ τῆς τοῦ ὑγροῦ μίξεως, ὄντος φυσώδους,

41. Ille autem, quum in unum poculum miscuisset, ex altero porrigebat mulieri ut consecraret; ipse astans et altero poculo assumpto priori majore sed vacuo, et ab illusa muliere consecratione patrata, minorem calicem accipiebat et in majorem infundebat et sæpius transfundens ex alio in alium, addebat hæc verba : Gratia ea, quæ supra omnia est cogitationemque omnem et sermonem excedit, interiorem hominem tuum impleat atque insperso in terram bonam sinapis grano cognitionem suam in te amplificet. Et alia hujus modi pronuntians stupefaciensque mulierem quam deludebat omnesque adstantes, miraculorum auctor æstimabatur, magno videlicet poculo ex minori usque adeo impleto ut redundaret. Artem autem ejus in supradicto libro exposuimus ubi ostendimus in pluribus pigmentis inesse vim augendi quum liquidis elementis et præsertim vino immiscentur. Pigmentum igitur quoddam vacuo clam (illinit) calici, et in eumdem quem prius veluti nihil continentem monstraverat, infundit ex altero calice transfunditque ita ut immergatur pigmentum; quod quum solutum est, mixtura

4-7. Eadem leguntur apud B. Iren. lib. I, c. VIII. — 5. Add. [ἡ] ex B. Iren. — 11. ὁμοίωσε τῇ cod. corr. Mill. — 11 sqq. Hæc desiderantur. — 14. κρύβδην ε... os..... χρισ..... ὡς cod.; ἔμπροσθεν ἐπιχρίσας conj. Mill. — 15. τοῦ ἑτέρου ὀλίγου conj. Mill. — 15-16. ἀναδυομένου cod.; ἀναλυομένου Rœperus.

ωλεονασμὸς τοῦ κεράσματος ἐγίνετο καὶ ἐπὶ τοσοῦτον ηὔξανεν, ἐς ὅσον ἐπαναχυνόμενον ἐκινεῖτο, τοιαύτης οὔσης τῆς τοῦ Φαρμάκου Φύσεως· ὃ εἰ ἀπόθοιτό τις ωληρωθέν, μετ' οὐ ωολὺ εἰς τὸ κατὰ Φύσιν μέτρον ωάλιν τραπήσεται, τῆς τοῦ Φαρμάκου δυνάμεως σβεσθείσης τῇ τοῦ ὑγροῦ ωαραμονῇ. Διὸ μετὰ σπουδῆς τοῖς ωαροῦσι ωροσεδίδου ωίνειν· οἱ δὲ ὡς Θεῖόν τι καὶ Θεῷ μεμελημένον Φρίσσοντες ἅμα καὶ σπεύδοντες ἔπινον.

42. Τοιαῦτα δὲ καὶ ἕτερα ἐπεχείρει ὁ ωλάνος ωοιεῖν· διὸ ὑπὸ τῶν ἀπατωμένων ἐδοξάζετο, καὶ ωοτὲ [μὲν] αὐτὸς ἐνομίζετο ωροφητεύειν, ωοτὲ δὲ καὶ ἑτέρους ἐποίει, ὅτε μὲν καὶ διὰ δαιμόνων ταῦτα ἐνεργῶν, ὅτε δὲ καὶ κυβεύων [202] ὡς ωροείπομεν. Πολλοὺς τοίνυν ἐξαφανίσας, καὶ ωολλοὺς τοιούτους μαθητὰς αὐτοῦ γενέσθαι ωροεβίβασεν, εὐκόλους μὲν εἶναι διδάξας ωρὸς τὸ ἁμαρτάνειν, ἀκινδύνους δὲ διὰ τὸ εἶναι τῆς τελείας δυνάμεως καὶ μετέχειν τῆς ἀνεννοήτου ἐξουσίας· οἷς καὶ μετὰ τὸ βάπτισμα ἕτερον ἐπαγγέλλονται, ὃ καλοῦσιν ἀπολύτρωσιν, καὶ ἐν τούτῳ ἀνασ1ρέφοντες κακῶς τοὺς αὐτοῖς ωαραμένοντας ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως, [ὡς] δυναμένους

subito calicem implet et ita tumefactum augetur ut superfluat; ea enim pigmento vis inest. Si quis deponat poculum, dum plenum est, brevi suam propriam mensuram resumet, vis enim pigmenti permanente humore evanescit. Idcirco protinus adstantibus porrigit ut bibant. Qui quidem trementes et festinantes liquorem bibunt quasi divinum et Deo gratum.

42. Hæc igitur et alia præstigiator ille enixus est patrare. Quapropter ab illis quos illuserat pluris æstimabatur, et tum vaticinari credebatur, tum cæteris eamdem divinandi vim impertire, quod vel dæmonum opera efficiebat vel præstigiis ut supra diximus. Permultos seduxit et hos quidem discipulos ejus factos longius induxit docens eos pronos quidem esse ad peccandum, sed sine periculo, quod essent supernæ potestatis et participes substantiæ istius quæ mente percipi non potest. Quibus etiam post baptisma promittunt secundum baptisma quod redemptionem vocant et in illo prave versantes eos qui sibi adhærent, spe redemptionis illius, quasi possint post baptisma

6. *μεμελημένον* conj., *μεμελετημένον* cod. Mill. Duncker. — 9. [*μὲν*] addidit Mill. — 11. *ωολλάς* cod. — 12. *γενομένους* cod. Miller. Lege *γενέσθαι*. — 17. *ἀπολυτρώσεως δυναμένους* cod. Mill. Legendum *ὡς δυναμένους*. *ὡς* excidit ob ul-

μετὰ τὸ ἅπαξ βαπτισθέντας πάλιν τυχεῖν ἀφέσεως, διὰ τοῦ τοιούτου πανουργήματος συνέχειν δοκοῦσι τοὺς ἀκροατάς, οὓς ἐπὰν νομίσωσι δεδοκιμάσθαι καὶ δύνασθαι φυλάσσειν αὐτοῖς τὰ πιστά, τότε ἐπὶ τοῦτο ἄγουσι, μηδὲ τούτῳ μόνῳ ἀρκούμενοι, ἀλλὰ καὶ ἕτερόν τι ἐπαγγελλόμενοι, πρὸς τὸ συγκρατεῖν αὐτοὺς τῇ ἐλπίδι, ὅπως ἀχώριστοι ὦσι· λέγουσι γάρ τι φωνῇ ἀῤῥήτῳ, ἐπιτιθέντες χεῖρα τῷ τὴν ἀπολύτρωσιν λαβόντι, ὃ φάσκουσιν ἐξειπεῖν εὐκόλως μὴ δύνασθαι, εἰ μή τις εἴη ὑπερδόκιμος, ἢ ὅτε τελευτᾷ πρὸς τὸ οὗς ἐλθὼν λέγει ὁ ἐπίσκοπος. Καὶ τοῦτο δ' ἐ[στι] πανούργημα πρὸς τὸ ἀεὶ παραμένειν τοὺς μαθητὰς τῷ ἐπισκόπῳ, γλιχομένους μαθεῖν τὸ τί ποτε εἴη τοῦτο ἐπ' ἐσχάτων λεγόμενον, δι' οὗ [τῶν] τελείων ἔσται ὁ μανθάνων· ἃ τούτου χάριν ἐσιώπησα, μή ποτέ τις κακοηθίζεσθαί με αὐτοὺς νομίσῃ. Καὶ γὰρ οὐ τοῦτο ἡμῖν πρόκειται, ἀλλ' ἢ τὸ δεῖξαι ὅθεν τὰς ἀφορμὰς λαβόντες αὐτοῖς τὰ δόξαντα ἐνεστήσαντο.

43. Καὶ γὰρ καὶ ὁ μακάριος πρεσβύτερος Εἰρηναῖος, παῤῥησιαί-

denuo peccatorum remissionem assequi, et hujusce fraudis artificio arbitrantur auditores retinere. Quos quum existimant esse bene probatos et custodire posse quæcumque illis credita sunt, tunc ne hoc quidem solo contenti eo veniunt ut novum aliquid promittant, sic eos spe retenturi et impedituri ne discedant. Dicunt enim aliquid voce obscura simul imponentes manum super eum qui redemptionem assequitur, quod quidem repetere difficile esse prædicant, nisi quis maxime probatus sit vel morituro episcopus adveniens novissime in aures pronuntiet. Hanc fraudem machinantur ut discipuli episcopo semper adhæreant utpote gliscentes ediscere quid illud sit quod dicitur novissimum et quo tandem discipulus perfectis annumerabitur. Ob hanc causam ea prætermisi silentio ne quis forte credat eos a me derideri. Non hoc enim propositum nobis est, sed tantum ut ostenderemus unde isti principia hauserint et inde sua dogmata constituerint.

43. Beatus ille presbyter Irenæus, quum magna libertate loquendi eos

timas ἀπολυτρώσεως litteras; quæ menda frequens est in cod. — 1. βαπτισθέντας [πεσεῖν] male conj. Mill. – καὶ διὰ τοῦ cod. Mill.; διὰ τοῦ Rœper. — 9. ἐ[στι] addidi, quod prorsus exciderat. — 11. [τῶν] addidit Mill. — 12-13. κακοηθείζεσθαι cod.

τερον τῷ ἐλέγχῳ προσενεχθείς, τὰ τοιαῦτα λούσματα καὶ ἀπολυτρώσεις ἐξέθετο, ἀδρομερέστερον εἰπὼν ἃ πράσσουσιν οἱ ἐντυχόντες, [εἰ καὶ] τινὲς αὐτῶν ἤρνηνται [203] οὕτως παρειληφέναι, ἀεὶ ἀρνεῖσθαι μανθάνοντες· διὸ Φροντὶς ἡμῖν γεγένηται ἀκριβέστερον ἐπιζητῆσαι καὶ ἐνευρεῖν λεπτομερῶς, ἃ καὶ ἐν τῷ πρώτῳ λουτρῷ παραδιδόασι, τὸ τοιοῦτο καλοῦντες, καὶ ἐν τῷ δευτέρῳ, ὃ ἀπολύτρωσιν καλοῦσιν. Ἀλλ' οὐδὲ τὸ ἄρρητον αὐτῶν ἔλαθεν ἡμᾶς. Ταῦτα δὲ συγκεχωρήσθω Οὐαλεντίνῳ καὶ τῇ αὐτοῦ σχολῇ. Ὁ δὲ Μάρκος μιμούμενος τὸν διδάσκαλον, καὶ αὐτὸς ἀναπλάσσει ὅραμα, νομίζων οὕτως δοξασθήσεσθαι. Καὶ γὰρ Οὐαλεντῖνος φάσκει ἑαυτὸν ἑωρακέναι παῖδα νήπιον ἀρτιγέννητον, οὗ πυθόμενος ἐπιζητεῖ τίς ἂν εἴη. Ὁ δὲ ἀπεκρίνατο λέγων ἑαυτὸν εἶναι τὸν Λόγον· ἔπειτα προσθεὶς τραγικόν τινα μῦθον, ἐκ τούτου συνισᾶν βούλεται τὴν ἐπικεχειρημένην αὐτῷ αἵρεσιν. Τούτῳ τὰ ὅμοια τολμῶν ὁ Μάρκος λέγει ἐληλυθέναι πρὸς αὐτὸν σχήματι γυναικείῳ τὴν Τετράδα. Ἐπειδή, φησί, τὸ ἄρρεν αὐτῆς ὁ κόσμος φέρειν οὐκ ἠδύνατο, καὶ μηνῦσαι αὐτὴν ἥτις ἦν,

confutaret, hæc baptismata et redemptiones exposuit copiosius dicens ea quæ faciunt qui conversantur cum eis, etsi quidam eorum ea negant sic accepisse, qui quidem semper negare sunt edocti. Consilium igitur inivi diligenter requirendi et minuta quæque scrutando inveniendi quæ tradant in primo baptismate, ut illud quidem vocant, et in secundo quod appellant redemptionem. Sed ne illud quidem nos fugit quod inenarrabile habent. Hæc igitur Valentino et discipulis ejus condonemus. Marcus autem, magistrum suum æmulatus, finxit sibi visionem quamdam apparuisse, inde ratus famam sese consecuturum. Valentinus enim dixit sibi visum esse infantem recens natum, qui quidem interrogatus quis esset respondit et dixit se esse Verbum. Deinde affingens fabulam quamdam tragicam ex illa vult constituere quam molitus est hæresim. Huic similia ausus iste Marcus dicit ad sese muliebri specie Tetrada descendisse : quoniam, inquit, ejus masculinum mundus ferre non poterat, deinde se quænam esset aperuisse, universo-

3. [εἰ καὶ] add. Mill. — 11. ἄρτι γέννητον cod. – ἂν εἶναι cod. pro ἂν εἴη. Corr. Mill. — 14. Hæc et sqq. usque ad § 55, leguntur apud B. Iren. lib. I, c. XIV-XVII. Versionem Billii, nonnullis mutatis, exscripsi. — 16. αὐτὴ τί ἦν B. Iren.

καὶ τὴν τῶν πάντων γένεσιν, ἣν οὐδενὶ πώποτε οὔτε θεῶν οὔτε ἀνθρώπων ἀπεκάλυψε, τούτῳ μόνῳ διηγήσασθαι, οὕτως εἰποῦσαν· ὅτε τὸ πρῶτον, οὗ πατὴρ οὐδεὶς ἦν ὁ ἀνεννόητος καὶ ἀνούσιος, ὁ μήτε ἄῤῥεν, μήτε θῆλυ, ἠθέλησεν αὐτοῦ τὸ ἄῤῥητον ῥητὸν γενέσθαι καὶ τὸ ἀόρατον μορφωθῆναι, ἤνοιξε τὸ στόμα καὶ προήκατο Λόγον ὅμοιον αὑτῷ· ὃς παρασὰς ἐπέδειξεν αὐτῷ ὃ ἦν, αὐτὸς τοῦ ἀοράτου [204] μορφὴ φανείς. Ἡ δὲ ἐκφώνησις τοῦ ὀνόματος ἐγένετο τοιαύτη· ἐλάλησε λόγον τὸν πρῶτον τοῦ ὀνόματος αὐτοῦ, ἥτις ἦν ἀρχὴ, καὶ ἦν ἡ συλλαβὴ αὐτοῦ στοιχείων τεσσάρων· ἔπειτα συνῆψε τὴν δευτέραν, καὶ ἦν καὶ αὐτὴ στοιχείων τεσσάρων. Ἐξῆς ἐλάλησε τὴν τρίτην, ἥτις ἦν στοιχείων δέκα, καὶ τὴν τετάρτην ἐλάλησε, καὶ ἦν καὶ αὐτὴ στοιχείων δώδεκα. Ἐγένετο οὖν τοῦ ὀνόματος ὅλου ἡ ἐκφώνησις στοιχείων μὲν τριάκοντα, συλλαβῶν δὲ τεσσάρων· ἕκαστον δὲ τῶν στοιχείων ἴδια γράμματα καὶ ἴδιον χαρακτῆρα καὶ ἰδίαν ἐκφώνησιν καὶ σχήματα καὶ εἰκόνας ἔχειν, καὶ μηθὲν αὐτῶν εἶναι,

rumque generationem quam nemini unquam neque deorum neque hominum patefecerat soli ipsi hisce verbis exposuisse. Quum primum ille cujus pater nemo est, qui neque cogitatione capi potest et naturæ omnis est expers, neque porro mas est aut femina, parturire cœpit, et voluit quod in se erat inexplicabile explicari, quod invisibile formari, os aperuit similemque sui Sermonem edidit. Qui quidem adstans ei quidnam esset ostendit, quum invisibilis illius velut effigies apparuisset. Enuntiatio autem nominis facta est talis : locutus est verbum primum nominis ejus : fuit id initium; et erat syllaba ejus litterarum quatuor; inde adjunxit secundam et fuit hæc quoque litterarum quatuor. Post locutus est et tertiam quæ fuit litterarum decem. Et eam quæ est quarta locutus est, quæ fuit et ipsa litterarum duodecim. Itaque totius nominis enuntiatio triginta litterarum exstitit ac quatuor syllabarum. Singula autem elementa peculiares litteras ac notas, peculiaremque pronuntiationem et figuras atque imagines habent, nec eorum quidquam est

2. εἰποῦσα cod. ex B. Iren. corr. — 3. ὁ πατὴρ αὐτοῦ ὁ cod. B. Iren. habet : ὤδινεν et vetus latina versio : *cujus pater nemo est*, id est, οὗ πατὴρ οὐδεὶς ἦν, quæ vera lectio videtur esse, οὐδεὶς ἦν et ὤδινεν confusis a librario. – ἀνενόητος cod. — 6. ὑπέδειξεν B. Iren. — 7. μορφῇ cod. — 9. ἐπισυνῆψε cod. — 10. ἑξῆς ἐλάλησε B. Iren. ; ἐξελάλησε cod. — 11. στοιχείω cod. – τὴν μετὰ ταῦτα ἐλάλησε B. Iren. — 13. μὲν restitutum ex B. Iren.

ὃ τὴν ἐκείνου καθορᾷ μορφήν, οὗπερ αὐτὸ στοιχεῖόν ἐστιν, οὐδὲ μὴν τὴν τοῦ πλησίον αὑτοῦ ἕκαστον ἐκφώνησιν γινώσκειν, ἀλλ' ὃ αὐτὸς ἐκφωνεῖ ὡς τὸ πᾶν ἐκφωνοῦντα, τὸ [ὅλον] ἡγεῖσθαι ὀνομάζειν αὐτόν· ἕκαστον γὰρ αὐτῶν μέρος ὂν τοῦ ὅλου, τὸν ἴδιον ἦχον ὡς τὸ πᾶν ὀνομάζειν καὶ μὴ παύσασθαι ἠχοῦντα, μέχρις ὅτου ἐπὶ τὸ ἔσχατον γράμμα τοῦ ἐσχάτου στοιχείου μονογλωτλήσαντα καταντῆσαι. Τότε δὲ τὴν ἀποκατάστασιν τῶν ὅλων ἔφη γενέσθαι, ὅταν τὰ πάντα κατελθόντα εἰς τὸ ἓν γράμμα, μίαν καὶ τὴν αὐτὴν ἐκφώνησιν ἠχήσῃ,[205] τῆς τε ἐκφωνήσεως εἰκόνα τὸ «ἀμήν,» ὁμοῦ λεγόντων ἡμῶν, ὑπέθετο εἶναι. Τοὺς δὲ [φθόγγους] ὑπάρχειν τοὺς μορφοῦντας τὸν ἀνούσιον καὶ ἀγέννητον Αἰῶνα, καὶ εἶναι τούτους μορφάς, ἃς ὁ Κύριος ἀγγέλους εἶρηκε, τὰς διηνεκῶς βλεπούσας τὸ πρόσωπον τοῦ Πατρός.

44. Τὰ δὲ ὀνόματα τῶν στοιχείων τὰ κοινὰ καὶ ῥητὰ Αἰῶνας καὶ Λόγους, καὶ Ῥίζας, καὶ Σπέρματα, καὶ Πληρώματα, καὶ Καρ-

quod illius cujus elementum est formam perspiciat. Jam neque ex iis elementi vicini enuntiationem novit; verum id quod enuntiat perinde esse arbitratur ac si totum enuntiaret. Nam quum quodlibet universi pars sit, sonum suum integrum sonum esse censet, nec sonare desinit, quousque ad extremam extremi elementi litteram singulariter sonans perveniat. Tunc autem omnium redintegrationem futuram dicebat quando omnia in unam litteram delabentia unam et eamdem consonationem sonuerint, cujus quidem enuntiationis imaginem esse *amen* illud quod nos una dicimus fingebat. Sonos autem eos esse qui Æonem substantiæ expertem atque ingenitum informant. Atque hos esse formas quas Dominus angelos appellavit, quæ Patris faciem perpetuo vident.

44. Communia porro et enarrabilia elementorum nomina Æonas et Sermones et Radices et Semina et Pleromata et Fructus nuncupavit. Singularia

1. ἐστί, τόνου δὲ μὴν cod.; ἐστιν, οὐδὲ μὴν B. Iren. — 2-3. ἄλλο μηδὲ ἐκφωνεῖν cod.; ἀλλὰ μηδὲ ἐκφωνεῖν Miller.; ἀλλ' ὃ αὐτὸς ἐκφωνεῖ B. Iren. — 3. ὅτι τὸ cod.; τὸ [ὅλον] B. Iren. — 6. μονογλωτλήσαντι cod.; μονογλωσσήσαντος B. Iren. edit. Legendum cum vet. interpr. μονογλωσσήσαντα. — 7. Τότε δὲ καὶ τὴν B. Iren. — 8-9. ἐκφώνησιν ἠχήσῃ, τήν τε ἐκφώνησιν ἠχήσῃ cod. — 9. ἱκανὰ cod. pro εἰκόνα a librario somniante confusum. — 10. [φθόγγους] omissum in cod. restit. ex B. Iren. — 12. τὰς δὲ διηνεκῶς B. Iren. — 14. ῥήματα cod. pro ῥητὰ.

ποὺς ὠνόμασε· τὰ δὲ καθ' ἕνα αὐτῶν, καὶ ἑκάστου ἴδια, ἐν τῷ ὀνόματι τῆς Ἐκ[κλησίας] ἐμπεριεχόμενα νοεῖσθαι [ἔφη]· ὧν στοιχείων τοῦ ἐσχάτου στοιχείου τὸ ὕστατον [γράμμα] φωνὴν προήκατο τὴν ἑαυτοῦ, οὗ ὁ ἦχος ἐξελθὼν εἰκόνας τῶν στοιχείων στοιχεῖα ἴδια ἐγέννησεν. Ἐξ ὧν τά τε ἐνταῦθα διακεκοσμῆσθαι φησί, καὶ τὰ πρὸ τούτων γεγενῆσθαι. Τὸ μέντοι γράμμα αὐτὸ οὗ ὁ ἦχος ἦν συνεπακολουθῶν τῷ ἤχῳ κάτω, ὑπὸ τῆς συλλαβῆς τῆς ἑαυτοῦ ἀνειλῆφθαι ἄνω λέγει εἰς ἀναπλήρωσιν τοῦ ὅλου· μεμενηκέναι δὲ εἰς τὰ κάτω τὸν ἦχον, ὥσπερ ἔξω ῥιφέντα. Τὸ δὲ στοιχεῖον αὐτό, ἀφ' οὗ τὸ γράμμα σὺν τῇ ἐκφωνήσει τῇ ἑαυτοῦ κατῆλθε κάτω [206], γραμμάτων φησὶν εἶναι τριάκοντα, καὶ ἓν ἕκαστον τῶν τριάκοντα γραμμάτων ἐν ἑαυτῷ ἔχειν ἕτερα γράμματα, δι' ὧν τὸ ὄνομα τοῦ γράμματος ὀνομάζεται. Καὶ μὴν πάλιν τὰ ἕτερα δι' ἄλλων ὀνομάζεσθαι γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων, ὥστε εἰς ἄπειρον ἐκπίπλειν τὸ πλῆθος, ἰδίᾳ τῶν γραμμάτων γραφέντων. Οὕτως δ' ἂν σαφέστερον μάθοι

autem et cujusque propria in Ecclesiæ nomine contineri atque intelligi ait. Quorum elementorum ultimi extrema littera vocem suam emisit, cujus vox ad elementorum imaginem egressa peculiaria elementa procreavit. Ex quibus et quæ sunt hic exornata dicit et ea, quæ sunt ante hæc, generata fuisse. Et quidem litteram ipsam cujus sonus sonum infra sequebatur, a syllaba sua in universi complementum sursum receptam esse affirmat. Cæterum sonum velut foras ejectum infra remansisse. At elementum ipsum a quo littera una cum sua pronuntiatione infra descendit triginta litterarum esse asserit, quarum etiam quælibet alias rursus litteras contineat quibus litteræ nomen exprimitur. Ac rursus aliam atque etiam per alias atque alias litteras appellari, ita ut litteræ in infinitum quemdam numerum excrescant numeratis litteris quæ in singulis elementis continentur. Sic autem

1. *τὰ καθ' ἑαυτῶν* cod.; *τὰ δὲ καθ' ἕνα αὐτῶν* B. Iren. — 2. *νοεῖσθαι τῶν στοιχείων· τοῦ...* cod. ex B. Iren. emendatum. — 3. *ὕστερον* cod. – [*γράμμα*] ex B. Iren. restitutum. — 4. *ἱκανὰ* cod.; *κατ' εἰκόνα* B. Iren. — 5. *κατακεκοσμῆσθαι* B. Iren.; *διακεκομεῖσθαι* cod. — 7. *καὶ τῷ* cod. pro *κάτω*. — 8. *τούτου ὅλου* cod.; *τοῦ ὅλου* B. Iren. — 10. *συνέσλη* cod.; *σὺν τῇ* B. Iren. — 11. Post *εἶναι τριάκοντα* cod. habet *γραμμάτων* quod recte censuit delendum Miller. — 13. *καὶ αὖ πάλιν* B. Iren. — 14. *ὡς εἰς* B. Iren. — 15. *διὰ τῶν γραμμάτων γραφέντος* cod.; recte conjecit Mill.: *ἰδίᾳ τῶν γραμμάτων γραφέντων*.

τις τὸ λεγόμενον. Τὸ δέλτα στοιχεῖον γράμματα ἔχει ἐν ἑαυτῷ πέντε, τὸ δέλτα, καὶ τὸ ἐψιλόν, καὶ τὸ λάμβδα, καὶ τὸ ταῦ, καὶ τὸ ἄλφα, καὶ αὐτὰ ταῦτα τὰ γράμματα δι' ἄλλων [γράφεται]. Εἰ οὖν ἡ πᾶσα ὑπόστασις τοῦ δέλτα εἰς ἄπειρον ἐκπίπτει, ἀεὶ ἄλλων ἄλλα γράμματα γεννώντων καὶ διαδεχομένων ἄλληλα, πόσῳ μᾶλλον ἐκείνου τοῦ στοιχείου μεῖζον εἶναι τὸν πόντον τῶν γραμμάτων; καὶ εἰ τὸ ἓν γράμμα ἄπειρον οὕτως, ὅρα ὅλου τοῦ ὀνόματος τὸν βυθὸν τῶν γραμμάτων, ἐξ ὧν τὸν Προπάτορα ἡ Μάρκου φιλοπονία, μᾶλλον δὲ ματαιοπονία βούλεται συνιστᾶν· διὸ καὶ τὸν Πατέρα ἐπιστάμενον τὸ ἀχώρητον αὐτοῦ δεδωκέναι τοῖς στοιχείοις, ἃ καὶ Αἰῶνας καλεῖ, ἑνὶ ἑκάστῳ αὐτῶν τὴν ἰδίαν ἐκφώνησιν ἐκβοᾶν, διὰ τὸ μὴ δύνασθαι ἕνα τὸ ὅλον ἐκφωνεῖν.

45. Ταῦτα δὲ σαφηνίσασαν αὐτῷ τὴν Τετρακτὺν εἰπεῖν[207]· Θέλω δέ σοι καὶ αὐτὴν ἐπιδεῖξαι τὴν Ἀλήθειαν· κατήγαγον γὰρ αὐτὴν ἐκ τῶν ὑπερθεν δωμάτων, ἵνα ἴδῃς αὐτὴν γυμνήν, καὶ καταμάθῃς

apertius id quod dico intelliges : elementum *delta* quinque litteras complectitur nimirum δ et ε et λ et τ et α, rursusque hæ litteræ aliis litteris perscribuntur. Si ergo tota elementi *delta* coagmentatio in infinitum cadit, aliis nimirum alia gignentibus atque inter se succedentibus, quanto illo elemento vastius litterarum pelagus erit? Jam si una littera usque adeo infinita est, animadvertas velim quæ in toto nomine sit litterarum profunditas ex quibus Marci ardens labor vel potius inanis labor Propatorem constare docuit. Qua etiam de causa Patrem, scientem se comprehendi non posse, hoc singulis elementis, quibus etiam Æonum nomen imponit, dedisse, ut propriam enuntiationem ederent, eo quod unum illud quod est universum enuntiare non possit.

45. His autem expositis Quaternitatem ipsi dixisse : Volo ipsam quoque Veritatem tibi spectandam proponere : ex superis quippe ædibus eam devexi ut nudam eam conspicias, ejusque pulchritudinem intelligas, atque

24. Hæc est, secundum Aristotelem, physici corporis organis instructi entelechia, anima in corpore agens, sine qua corpus nihil efficere potest, majus aliquid et manifestius et potentius et sapientius corpore. Sic quæ Aristoteles prior docuit de anima et de corpore, eadem Basilides de magno Archonte et de filio ejus protulit. Filium enim Archon, secundum Basilidem, genuit; animam autem opus et effectum Aristoteles ait esse physici corporis organis instructi entelechiam. Quemadmodum igitur entelechia regit corpus, eodem modo filius regit, secundum Basilidem, ineffabilium ineffabiliorem Deum. Majestate Principis magni omnia sunt provisa et ordinata quæ quidem ætherea expanduntur usque ad lunam; inde enim aer ab æthere discernitur. Ordinatis igitur omnibus æthereis, rursus ex universitate semi-

5. [τι] addidi. — 6. Post σοφώτερον cod. habet τῆς ψυχῆς, quod sensu caret. Legendum τοῦ σώματος, quod etiam vidit Dunck. — 9. γεγέννηκε cod. – τῆς τε ψυχῆς Buns. — 10. ὡς φησὶν cod. Mill. corr. Buns. — 13. μεγάλης cod.; μεγαλειότητος conj. Miller. Bunsen. — 15. αἰθέριος cod. Mill. Buns. – Κεκοσμιμένων cod.

μὲν πάντων τῶν ὑποκειμένων, χωρὶς μέντοι τῆς καταλελειμμένης Υἱότητος, πολὺ δὲ ὑποδεέστερος τοῦ πρώτου Ἄρχοντος. Ἔστι δὲ καὶ οὗτος ῥητὸς ὑπ' αὐτῶν λεγόμενος. Καὶ καλεῖται ὁ τόπος οὗτος Ἑβδομάς, καὶ πάντων τῶν ὑποκειμένων οὗτός ἐστι διοικητὴς καὶ δημιουργός, ποιήσας καὶ αὐτὸς ἑαυτῷ υἱὸν ἐκ τῆς πανσπερμίας, ἑαυτοῦ φρονιμώτερον καὶ σοφώτερον, παραπλησίως τοῖς ἐπὶ τοῦ πρώτου λελεγμένοις. Τὸ δὲ ἐν τῷ διασήματι τούτῳ, ὁ σωρὸς αὐτὸς ἐστί, φησί, καὶ ἡ πανσπερμία, καὶ γίνεται κατὰ φύσιν τὰ γινόμενα ὡς φθάσαντα τεχθῆναι ὑπὸ τοῦ τὰ μέλλοντα γενέσθαι ὅτε δεῖ καὶ οἷα δεῖ καὶ ὡς δεῖ λελογισμένου. Καὶ τούτων ἔστιν ἐπιστάτης ἢ Φροντιστὴς ἢ δημιουργὸς οὐδείς· ἀρκεῖ γὰρ αὐτοῖς ὁ λογισμὸς ἐκεῖνος ὃν [ὁ] Οὐκ Ὤν, ὅτε ἐποίει, ἐλογίζετο.

(238) 25. Ἐπεὶ οὖν τετέλεσται κατ' αὐτοὺς ὁ κόσμος ὅλος καὶ τὰ ὑπερκόσμια, καὶ ἔστιν ἐνδεὲς οὐδέν, λείπεται δὴ ἐν τῇ πανσπερμίᾳ ἡ

num alius Princeps exortus est major omnibus subjectis, præter Filietatem derelictam, sed multo inferior primo Principe. Et vocatur ille quoque ab istis *effabilis*, et sedes ejus Hebdomas et omnium subjectorum hic est ordinator et opifex, efficiens et ille sibi ex universitate seminum filium seipso prudentiorem et sapientiorem, quemadmodum de primo diximus; in hoc autem nostro spatio est acervus, ut ait Basilides, et seminum universitas, et existunt omnia secundum naturam entia, velut properantia nasci ab illo qui de genituris computavit quando et qualia et quomodo deberent nasci. Horum nemo est præfectus vel curator vel opifex; sufficit enim illis cogitatio qua Non Ens computabat quum operaretur.

25. Quum autem absoluta sunt, secundum hæreticos istos, et mundus universus et supermundana, ac nihil deest, manet adhuc in universitate

1. μέντοι cod. Mill.; μὲν Bunsen. — 3. οὗτος καὶ ὁ ῥητὸς Bunsen.; ἀῤῥητος cod. Mill. Dunck. at conf. infra, p. 358, l. 2. — 5-6. Post πανσπερμίας cod. habet καὶ αὐτὸς, quæ male sunt repetita et delenda. Buns. conjecit: καὶ αὐτὸν ἑαυτοῦ. — 9. φθάσαν cod. R. Scott. delet τεχθῆναι et legit λεχθῆναι. Rœper. conj.: φθάσαν, ἐλέχθη, γενήσεσθαι; Bunsen.: ἔφθασε, γίνεσθαι; Uhlh. autem: φθάσαντα, λέγεσθαι. — 9-10. δεῖ καὶ οἷα Buns.; δικαιοῖ ἃ cod. Millerus. Conf. Scott. *Theol. crit.* Lond. 1852, part. IV. — 10. λελογισμένῳ cod. Mill.; λελογισμένου Dunck. — 12. [ὁ] add. Jacob. — 14. δὲ cod.; δὴ conj. Mill.

Υἱότης ἡ τρίτη ἡ καταλελειμμένη [πρὸς τὸ] εὐεργετεῖν καὶ εὐεργετεῖσθαι ἐν τῷ σπέρματι, καὶ δεῖ τὴν ὑπολελειμμένην Υἱότητα ἀποκαλυφθῆναι καὶ ἀποκατασταθῆναι ἄνω ἐκεῖ ὑπὲρ τὸ Μεθόριον Πνεῦμα πρὸς τὴν Υἱότητα τὴν λεπτομερῆ καὶ [τὴν] μιμητικήν, καὶ τὸν Οὐκ Ὄντα, ὡς γέγραπται, φησί, « Καὶ ἡ κτίσις αὐτὴ συστενάζει καὶ συνωδίνει « τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἐκδεχομένη. » Υἱοὶ δέ, φησίν, ἐσμὲν ἡμεῖς οἱ πνευματικοὶ ἐνθάδε καταλελειμμένοι [πρὸς τὸ] διακοσμῆσαι καὶ διατυπῶσαι καὶ διορθώσασθαι καὶ τελειῶσαι τὰς ψυχὰς κατὰ φύσιν ἐχούσας μένειν ἐν τούτῳ τῷ διαστήματι. « Μέ« χρι μὲν οὖν Μωσέως ἀπὸ Ἀδὰμ ἐβασίλευσεν ἡ ἁμαρτία, » καθὼς γέγραπται· ἐβασίλευσε γὰρ ὁ μέγας Ἄρχων ὁ ἔχων τὸ τέλος αὐτοῦ μέχρι στερεώματος, νομίζων αὐτὸς εἶναι Θεὸς μόνος, καὶ ὑπὲρ αὐτὸν εἶναι μηδέν· πάντα γὰρ ἦν φυλασσόμενα ἀποκρύφῳ σιωπῇ. Τοῦτο, φησίν, ἐστὶ τὸ μυστήριον ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, ἀλλὰ ἦν ἐν ἐκείνοις τοῖς χρόνοις βασιλεὺς καὶ κύριος, ὡς ἐδόκει, τῶν ὅλων ὁ μέγας Ἄρχων, ἡ Ὀγδοάς. Ἦν δὲ καὶ τούτου

seminum Filietas illa tertia quæ quidem derelicta est ut bene ageret et bene haberetur in semine, et necesse est ut hæc Filietas derelicta manifestetur et sursum sublata constituatur super Confinium Spiritus juxta Filietatem exilem et Filietatem imitandi peritam et Deum non entem. Sic enim scriptum est, ait Basilides : « Omnis creatura ingemiscit et parturit revelationem « filiorum Dei exspectans. » Filii autem spirituales sumus, inquit, hic derelicti ut ordinentur et informentur corriganturque et ad finem ducantur perfectum animæ quæ natura sua coguntur in hac terra morari. « Ab Adam « usque ad Moysem regnavit peccatum. » Sic scriptum est. Regnavit enim magnus Archon fines imperii sui extendens usque ad firmamentum, ratusque se unum esse Deum et super ipsum esse nihil; omnia enim servata erant silentio secreto. Illud est, ait Basilides, mysterium quod prioribus generationibus absconditum fuit; sed his temporibus erat rex et dominus, ut videbatur, universorum magnus Archon Ogdoas. Hebdomas autem erat

1-2. ἐθεργετεῖσθαι cod.; υ et θ sæpissime confusis. — 2. δεῖ Bunsen.; δὴ cod. Mill. — 4. [τὴν] addidi. — 5 sqq. Conf. B. Pauli *Epist. ad Rom.* VIII, 22. — 7. [πρὸς τὸ] addidi. Cf. infra, p. 366, l. 11, 17. — 9. κατὰ cod. Mill.; κάτω Dunck.; τὰς Buns. — 9-10. Conf. B. Pauli *Epist. ad Rom.* V, 13, 14.

τοῦ διασ|ήματος βασιλεὺς καὶ κύριος ἡ Ἑβδομάς, καὶ ἔσ|τιν ἡ μὲν Ὀγδοὰς ἄ|ρρητος, ῥητὸς δὲ ἡ Ἑβδομάς. Οὗτος ἐσ|τί, φησίν, ὁ τῆς Ἑβδομάδος Ἄρχων ὁ λαλήσας τῷ Μωϋσῇ καὶ εἰπών, « Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ « καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ τὸ ὄνομα τοῦ Θεοῦ οὐκ ἐδήλωσα αὐ- « τοῖς » (οὕτως γὰρ θέλουσι γεγράφθαι), τουτέσ|τι τοῦ ἀ|ρρήτου τῆς Ὀγδοάδος, Ἄρχοντος, Θεοῦ. Πάντες οὖν οἱ προφῆται οἱ πρὸ τοῦ Σωτῆρος, φησίν, ἐκεῖθεν ἐλάλησαν. Ἐπεὶ οὖν ἔδει ἀποκαλυφθῆναι, φησίν, ἡμᾶς τὰ τέκνα τοῦ Θεοῦ [239] περὶ ὧν ἐσ|τέναξε, φησίν, ἡ κτίσις καὶ ὤδινεν, ἀπεκδεχομένη τὴν ἀποκάλυψιν, ἦλθε τὸ Εὐαγγέλιον εἰς τὸν κόσμον, καὶ διῆλθε διὰ πάσης Ἀρχῆς καὶ Ἐξουσίας [καὶ] Κυριότητος, [καὶ] παντὸς ὀνόματος ὀνομαζομένου· ἦλθε δὲ ὄντως καίπερ οὐδὲν κατῆλθεν ἄνωθεν, οὐδὲ ἐξέσ|η ἡ μακαρία Υἱότης ἐκείνου τοῦ ἀπερινοήτου καὶ μακαρίου οὐκ ὄντος Θεοῦ. Ἀλλὰ γὰρ καθάπερ ὁ νάφθας ὁ ἰνδικός, ἀφθεὶς μόνον ἀπὸ πάνυ πολλοῦ διασ|ήματος, συνάπ|ει πῦρ, οὕτω κάτωθεν ἀπὸ τῆς ἀμορφίας τοῦ σωροῦ διήκουσιν αἱ δυνάμεις μέχρις ἄνω τῆς Υἱότητος. Ἄπ|ει μὲν γὰρ καὶ λαμ-

hujusce spatii nostri rex et dominus, et Ogdoas ineffabilis est, Hebdomas autem effabilis. Ille est, inquit, Hebdomadis Archon qui locutus est ad Moysem dicens: «Ego Deus Abraham et Isaac et Jacob et nomen Dei non re- «velavi eis» (his enim verbis scriptum fuisse isti volunt), nimirum hujusce ineffabilis Ogdoadis, Archontis, Dei. Omnes igitur prophetæ qui ante Christum degerunt, ait Basilides, per Deum Ogdoadem locuti sunt. Quum autem necesse esset, ait, ut nos pueri Dei manifestaremur, quorum quidem manifestationem exspectans omnis creatura ingemiscebat et parturiebat, ivit Evangelium in hunc mundum et transivit per omnem Potestatem et Virtutem et Dominationem et omne nomen quod nominari potest. (Venit autem revera, etsi nihil descendit desuper nec secessit beata Filietas ab illo incomprehensibili, beato, non ente Deo.) Sed enim veluti naphthas indicus modo accensus ex longissimo intervallo, tamen concipit ignem, sic ex inferiori deformique seminum acervo ascenderunt potestates usque ad Filieta-

2. ῥητὸς Buns.; ῥητὸν cod. Mill. — 3 sqq. Conf. *Exod.* VI, 2, 3. — 10 sqq. Conf. B. Pauli *Epist. ad Ephes.* I, 21. — 11. [καὶ] conj. Miller. — ὄντως Uhlhorn.; οὕτως cod. Millerus. — 14. ἀφθεὶς cod. Dunck.; ἁφθεὶς conj. Mill. Quod ex sqq. vera lectio videtur. — 15-16. διήκησιν cod. — 16. ἄνω μέχρι Jac.

βάνει τὰ νοήματα κατὰ τὸν νάφθαν τὸν ἰνδικόν, οἷον νάφθας τις ὢν ὁ τοῦ μεγάλου τῆς Ὀγδοάδος Ἄρχοντος υἱός, ἀπὸ τῆς μετὰ τὸ Μεθόριον μακαρίας Υἱότητος. Ἡ γὰρ ἐν μέσῳ τοῦ Ἁγίου Πνεύματος ἐν τῷ Μεθορίῳ τῆς Υἱότητος δύναμις ῥέοντα καὶ φερόμενα τὰ νοήματα τῆς υἱότητος μεταδίδωσι τῷ υἱῷ τοῦ μεγάλου Ἄρχοντος.

26. Ἦλθεν οὖν τὸ Εὐαγγέλιον πρῶτον ἀπὸ τῆς Υἱότητος, φησί, διὰ τοῦ παρακαθημένου τῷ Ἄρχοντι υἱοῦ πρὸς τὸν Ἄρχοντα, καὶ ἔμαθεν ὁ Ἄρχων ὅτι οὐκ ἦν Θεὸς τῶν ὅλων, ἀλλ' ἦν γεννητὸς καὶ ἔχων ὑπεράνω τὸν τοῦ ἀῤῥήτου καὶ ἀκατονομάστου Οὐκ Ὄντος καὶ τῆς Υἱότητος κατακείμενον Θησαυρόν, καὶ ἐπέστρεψε καὶ ἐφοβήθη, συνιεὶς ἐν οἵᾳ ἦν ἀγνοίᾳ, τοῦτο ἐστί, φησί, τὸ εἰρημένον, «Ἀρχὴ «σοφίας φόβος Κυρίου.» Ἤρξατο γὰρ σοφίζεσθαι κατηχούμενος ὑπὸ τοῦ παρακαθημένου Χριστοῦ, διδασκόμενος τίς ἐστιν ὁ Οὐκ Ὤν, τίς ἡ Υἱότης, τί τὸ Ἅγιον Πνεῦμα, τίς ἡ τῶν ὅλων κατασκευή, πρὸς ταῦτα ἀποκατασταθήσεται· [240] αὕτη ἐστὶν ἡ σοφία [ἡ] ἐν μυστηρίῳ λεγο-

tem. Naphthæ enim similis filius magni Archontis Ogdoadis, eodem modo quo naphthas, accendit conceptiones et recipit ex beata Filietate quæ sita est ultra Confinium Spiritus. Nam et in medio hoc Confinio Sancti Spiritus potestas fluentes et volantes Filietatis conceptiones filio magni Principis impertitur.

26. Evangelium igitur a Filietate, ut ait Basilides, primo ivit ad Archontem Ogdoadem per filium ejus sedentem a latere patris et cognovit Archon se non esse Deum universorum, sed genitum fuisse et supra se habere illum ineffabilis et qui nominari non potest Non Entis et Filietatis depositum thesaurum, animum advertit et timuit, intelligens in qua esset ignorantia. Hoc est, inquit, quod dictum est in Scriptura : «Initium sapientiæ timor Domini.» Incepit igitur recta sapere, eruditus a Christo assidente, et discebat quis esset ille Non Ens, quæ Filietas, quis Spiritus Sanctus, qui universorum apparatus et quid de his universis futurum sit. Hæc est sapientia quæ

1. ἄφθαν cod. – ἄφθας cod.; νάφθας Mill. Buns.; ἀνάφθας conj. Scott. — 4. φερόμενα Mill.; φερόμενον cod. — 7. τὸ πρὸς cod. Mill. — 9. τὸν ὑπὲρ ἄνω τοῦ cod.; τὸν ὑπεράνω τὸν τοῦ Bunsen.; τὸν ὑπεράνω τοῦ Millerus; ὑπεράνω τὸν τοῦ Uhlhorn.; ὑπεράνω ἑαυτοῦ τὸν τοῦ Rœp. – κατονομάστου cod. corr. Mill. — 11-12. *Prov.* I, 7. Cf. Clem. *Strom.* II, VIII, 36, ubi eadem verba a Basilidianis fusius explicantur. — 14. τίς ὁ τῶν cod. – πρὸς] Buns. conj. πῶς. — 15. [ἡ] addidi.

μένη, περὶ ἧς, φησίν, ἡ Γραφὴ λέγει· «Οὐκ ἐν διδακτοῖς ἀνθρω-«πίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος.» Κατηχηθεὶς οὖν, φησίν, ὁ Ἄρχων καὶ διδαχθεὶς καὶ φοβηθείς, ἐξωμολογήσατο περὶ ἁμαρτίας ἧς ἐποίησε μεγαλύνων ἑαυτόν. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον· «Τὴν ἁμαρτίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου ἐγὼ «γινώσκω· ὑπὲρ ταύτης ἐξομολογήσομαι εἰς τὸν αἰῶνα.» Ἐπεὶ οὖν κατήχητο μὲν ὁ μέγας Ἄρχων, κατήχητο δὲ καὶ ἐδεδίδακτο πᾶσα ἡ τῆς Ὀγδοάδος κτίσις καὶ ἐγνωρίσθη τοῖς ἐπουρανίοις τὸ μυστήριον, ἔδει λοιπὸν καὶ ἐπὶ τὴν Ἑβδομάδα ἐλθεῖν τὸ Εὐαγγέλιον, ἵνα καὶ ὁ τῆς Ἑβδομάδος παραπλησίως Ἄρχων διδαχθῇ καὶ εὐαγγελισθήσεται. Ἐπέλαμψεν ὁ υἱὸς τοῦ μεγάλου Ἄρχοντος τῷ υἱῷ τοῦ Ἄρχοντος τῆς Ἑβδομάδος, τὸ φῶς ὃ εἶχεν ἅψας αὐτὸς ἄνωθεν ἀπὸ τῆς Υἱότητος, καὶ ἐφωτίσθη ὁ υἱὸς τοῦ Ἄρχοντος τῆς Ἑβδομάδος, καὶ εὐηγγελίσατο τὸ Εὐαγγέλιον τῷ Ἄρχοντι τῆς Ἑβδομάδος, καὶ ὁμοίως κατὰ τὸν πρῶ-τον λόγον καὶ αὐτὸς ἐφοβήθη καὶ ἐξωμολογήσατο. Ἐπεὶ οὖν καὶ τὰ

in mysterio abscondita dicitur et de qua Scriptura dicit : «Non in doctis hu-«manæ sapientiæ verbis sed in doctrina Spiritus.» Eruditus igitur Archon Ogdoadis, ut ait Basilides, et doctus et timore perculsus confessus est peccatum quod patrarat seipsum extollendo. Illud est, ait hæreticus noster, quod dicitur in Scriptura : «Delictum meum cognovi et injustitiam meam «ego cognosco et de ea confitebor in sæculum.» Quum autem magnus Ogdoadis Archon fuisset eruditus et omnis Ogdoadis creatura fuisset similiter erudita et edocta et revelatum esset cœlestibus mysterium, necesse erat Evangelium ad Hebdomadem quoque ire, ut Hebdomadis Princeps pariter edoceretur et evangelizaretur. Filius igitur magni Archontis Ogdoadis illuxit filio Archontis Hebdomadis, lumine quod habebat accenso a Filietate, et illuminatus est filius Principis Hebdomadis et evangelizatum est Evangelium Archonti Hebdomadis, et similiter iis quæ supra diximus et ipse timuit et confessus est. Quum igitur omnia in Hebdomade illuminata fuissent et

1-2. B. Pauli I *Epist. ad Cor.* II, 13. — 3 et 15. *ἐξομολογήσατο* cod. — 5-6. Psalm. XXXI, 5, et 11, 11. — 9. *εὐδομάδα* cod. υ et θ confusis, quæ menda frequentissima est in cod. — 10. *εὐαγγελισθήσεται* cod. Legunt Miller. et Bunsen : *εὐαγγελισθήσηται*. Jam notavimus in eadem sententia subjunctivum semel et futurum post *ἵνα*. — 12. *αὐτοὺς* cod. ; *αὐτὸς* Millerus.

ἐν τῇ Ἑβδομάδι πάντα πεφώτισται καὶ διήγγελτο τὸ Εὐαγγέλιον αὐτοῖς (κτίσεις γάρ εἰσι κατ' αὐτὰ τὰ διαστήματα κατ' αὐτοὺς ἄπειροι καὶ Ἀρχαὶ καὶ Δυνάμεις καὶ Ἐξουσίαι, περὶ ὧν μακρός ἐστι κατ' αὐτοὺς πάνυ λόγος λεγόμενος διὰ πολλῶν, ἔνθα καὶ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς φάσκουσι, καὶ τὸν μέγαν ἄρχοντα αὐτῶν εἶναι τὸν Ἀβρασάξ, διὰ τὸ περιέχειν τὸ ὄνομα αὐτοῦ ψῆφον τξε, ὥστε τοῦ ὀνόματος τὴν ψῆφον περιέχειν πάντα, καὶ διὰ τούτων τὸν ἐνιαυτὸν τοσαύταις ἡμέραις συνεστάναι)· (241) ἀλλ' ἐπεί, φησί, ταῦθ' οὕτως ἐγένετο, ἔδει λοιπὸν καὶ τὴν ἀμορφίαν [τὴν] καθ' ἡμᾶς φωτισθῆναι, καὶ τῇ Υἱότητι τῇ ἐν τῇ ἀμορφίᾳ καταλελειμμένῃ οἱονεὶ ἐκτρώματι ἀποκαλυφθῆναι τὸ μυστήριον, ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, καθὼς γέγραπται, φησί, «Κατὰ ἀποκάλυψιν ἐγνωρίσθη «μοι τὸ μυστήριον,» καὶ «Ἤκουσα ἄρρητα ῥήματα, ἃ οὐκ ἔξὸν ἀν«θρώπῳ εἰπεῖν.» Κατῆλθεν ἀπὸ τῆς Ἑβδομάδος τὸ φῶς, τὸ κατελ-

nuntiatum eis fuisset Evangelium (creaturæ enim sunt secundum ipsa intervalla, ut isti hæretici docent, infinitæ, et Principalitates et Virtutes et Potestates de quibus longissimus apud eos et multus est sermo, in quo trecentos et sexaginta quinque cœlos esse affirmant et magnum illorum principem esse Abrasax, quod nomen istud numerum 365 contineat, ac si nominis numerus contineret omnia et propterea annus totidem diebus constaret); sed quum hæc omnia, ait Basilides, ita facta fuissent (scilicet illuminatio Hebdomadis et Evangelii manifestatio) necesse erat postremo ut deformes nostræ sedes illuminarentur et Filietati in his deformibus spatiis derelictæ velut fœtui abortivo sacramentum revelaretur quod prioribus generationibus ignotum fuerat, ut Scriptura, secundum Basilidem, dicit: «Secundum «revelationem notum mihi factum est sacramentum;» et «Audivi arcana «verba quæ non licet homini loqui.» Lumen igitur quod descenderat desu-

2. Pro *κατ' αὐτὰ τὰ* forsitan legendum *κατὰ τὰ*. — 3. *καὶ κατ'* cod. Delendum *καὶ* Mill. — 4. Post *αὐτοὺς* Uhlhorn. excidisse censet *τοὺς τόπους τῶν ἀρχόντων* vel aliquid simile. — 6. *Ἀβρασὰξ*] de hoc vocabulo cf. Bausob. *Histor. Man.* lib. II, p. 51, et Jo. Bapt. Passeri, *Diss. de gemmis Basilidianis*. — 7. *ὥστε* Dunck.; *ὡς δὴ* cod. Mill. Buns. – *διὰ τοῦτον* Bunsen.; *διὰ τούτων* cod. Mill.; *διὰ τοῦτο* Dunck. — 9. *ἀμορφίαν* [*τὴν*] conj. Rœp. — 12. B. Pauli *Epist. ad Ephes.* III, 3. 5. — 13. II *ad Cor.* XII, 4. — 14. *οὖν* add. Dunck. post *κατῆλθεν*.

θὸν ἀπὸ τῆς Ὀγδοάδος ἄνωθεν τῷ υἱῷ τῆς Ἑβδομάδος, ἐπὶ τὸν Ἰησοῦν τὸν υἱὸν τῆς Μαρίας, καὶ ἐφωτίσθη συνεξαφθεὶς τῷ φωτὶ τῷ λάμψαντι εἰς αὐτόν. Τοῦτο ἐστί, φησί, τὸ εἰρημένον, «Πνεῦμα Ἅγιον «ἐπελεύσεται ἐπὶ σέ,» τὸ ἀπὸ τῆς Υἱότητος διὰ τοῦ Μεθορίου Πνεύματος ἐπὶ τὴν Ὀγδοάδα καὶ τὴν Ἑβδομάδα διελθὸν μέχρι τῆς Μαρίας, «καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι,» ἡ δύναμις τῆς χρίσεως [ἡ] ἀπὸ τῆς ἀκρωρείας ἄνωθεν τοῦ δημιουργοῦ μέχρι τῆς κτίσεως, ὅ ἐστι τοῦ υἱοῦ· μέχρι δὲ ἐκείνου φησὶ συνεστηκέναι τὸν κόσμον οὕτως, μέχρις οὗ πᾶσα ἡ Υἱότης ἡ καταλελειμμένη εἰς τὸ εὐεργετεῖν τὰς ψυχὰς ἐν ἀμορφίᾳ, καὶ εὐεργετεῖσθαι, διαμορφουμένη κατακολουθήσῃ τῷ Ἰησοῦ, καὶ ἀναδράμῃ καὶ ἔλθῃ ἀποκαθαρισθεῖσα· καὶ γίνεται λεπτομερεστάτη, ὡς δύνασθαι δι' αὐτῆς ἀναδραμεῖν ὥσπερ ἡ ὠρώτη. Πᾶσαν γὰρ ἔχει τὴν δύναμιν συνεστηριγμένην φυσικῶς τῷ φωτὶ τῷ λάμψαντι ἄνωθεν κάτω.

27. Ὅταν οὖν ἔλθῃ, φησί, πᾶσα Υἱότης καὶ ἔσται ὑπὲρ τὸ Μεθόριον τὸ Πνεῦμα, τότε ἐλεηθήσεται ἡ κτίσις· στένει γὰρ μέχρι

per ex Ogdoade in filium Hebdomadis, ex Hebdomade descendit in Jesum filium Mariæ, et illuminatus est irradiatus luce fulgenti super eum. Illud est, ait Basilides, quod dictum est in Scriptura, «Spiritus Sanctus descendet «super te.» Spiritus quidem qui a Filietate per Confinium transiens et per Ogdoadem et per Hebdomadem descendit super Mariam: «et virtus Altis«simi obumbrabit tibi,» quæ quidem virtus unctionis a summo cacumine opificis magni, usque ad creationem, id est filium, descendit. Mundum autem ait sic constitisse usque dum tota Filietas, hic derelicta ut benefaceret animis in deformitate viventibus et ut bene haberetur ab eis, transformata sequeretur Jesum et sursum curreret et abiret emundata. Et evadit maxime exilis, ita ut sursum tolli possit veluti prima Filietas. Omnem enim potestatem naturaliter fundatam habet in lumine quod desuper illuminat inferiora.

27. Quum igitur iverit, ait, omnis Filietas et superaverit Confinium Spiritus, tunc misericordiam inveniet creatura, luget enim usque adhuc et

3 sqq. *Ev. sec. Luc.* 1, 35. — 6. *ἐπισκειάσει* cod. – *κρίσεως* cod. Mill.; *ὀγδοάδος* susp. Rœp. lege *χρίσεως*. – [ἡ] addidi. — 7. *διὰ* add. Dunck. post *ἄνωθεν*. — 9. *μέχρι σου* cod. — 16 et p. 363, l. 1-2. Cf. B. Pauli *Epist. ad Rom.* VIII, 19, 22.

τοῦ νῦν καὶ βασανίζεται, καὶ μένει τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, ἵνα πάντες ἀνέλθωσιν [242] ἐντεῦθεν οἱ τῆς Υἱότητος ἄνθρωποι. Ἐπειδὰν γένηται τοῦτο, ἐπάξει, φησίν, ὁ Θεὸς ἐπὶ τὸν κόσμον ὅλον τὴν μεγάλην ἄγνοιαν, ἵνα μένῃ πάντα κατὰ φύσιν, καὶ μηδὲν μηδενὸς τῶν παρὰ φύσιν ἐπιθυ[μήσῃ]. Ἀλλὰ γὰρ πᾶσαι αἱ ψυχαὶ τούτου τοῦ διασ[ή]ματος, ὅσαι φύσιν ἔχουσιν ἐν τούτῳ ἀθάνατοι διαμένειν μόνῳ, μενοῦσιν οὐδὲν ἐπισ[ά]μεναι τούτου τοῦ διασ[ή]ματος διάφορον οὐδὲ βέλτιον· οὐδὲ ἀκοή τις ἔσ[ε]ται τῶν ὑπερκειμένων ἐν τοῖς ὑποκειμένοις, οὐδὲ γνῶσις, ἵνα μὴ τῶν ἀδυνάτων αἱ ὑποκείμεναι ψυχαὶ ὀρεγόμεναι βασανίζωνται, καθάπερ ἰχθῦς ἐπιθυμήσας ἐν τοῖς ὄρεσι μετὰ τῶν προβάτων νέμεσθαι· ἐγένετο [γὰρ] ἄν, φησίν, αὐτοῖς ἡ τοιαύτη ἐπιθυμία φθορά. Ἔσ[ε]τιν οὖν, φησίν, ἄφθαρτα πάντα τὰ κατὰ χώραν μένοντα· φθαρτὰ δέ, ἐὰν ἐκ τῶν κατὰ φύσιν ὑπερπηδᾶν καὶ ὑπερβαίνειν βούλοιντο. Οὕτως οὐδὲν ὁ Ἄρχων τῆς Ἑβδομάδος γνώσεται τῶν ὑπερκειμένων· καταλήψεται γὰρ καὶ τοῦτον ἡ

torquetur et exspectat revelationem filiorum Dei, ut omnes Filietatis homines hinc sursum ascendant. Quum id factum fuerit, ait Basilides, Deus summam ignorantiam super universum mundum adducet, ut omnia secundum naturam suam maneant neque quidquam contra naturam suam concupiscat. Etenim omnes animæ hujusce spatii quæ in hoc uno loco debent natura sua immortales permanere, manebunt nihil scientes quod differat ab hoc eodem loco vel melius sit; nec fama ulla erit nec cognitio eorum quæ superna sunt in his locis infra positis, ne animæ infra positæ appetant quæ non possunt attingere et inde crucientur, veluti piscis qui in montibus pascere cum pecoribus concupisceret; talia enim appetendo, ait Basilides, perirent. Immortalia enim sunt, inquit, omnia quæ in suo loco manent; mortalia autem essent, si quæ secundum naturam sunt transilire vellent et transgredi. Itaque nihil ex supernis cognoscet Hebdomadis Archon; invadet enim ipsum

3. *οὖν* add. Duncker. post *ἐπειδὰν*. – *ἐπαύξει* cod. – *φησὶν ὁ Θεὸς, ἐπὶ* Miller. — 4. *ἵνα μὴ* cod.; *ἢ* Miller.; *μένῃ* Bern. Bunsen. Uhlh. — 5. Uncis inclusa suppl. Mill. — 7. *μενοῦσιν* Rœp. Buns.; *μένουσιν* cod. Mill. – *εἰσ[ά]μεναι. Τούτου* cod.; *ἐπισ[ά]μεναι. Τούτου* Mill. — 8. *διάφορα* cod. Mill. – *οὐδὲ βέλτιον* R. Scott. Buns.; *οὐ βέλτιον* cod. Miller.; *οὐ γὰρ βέλτιον* Rœp. — 9. *ἀποκειμένοις* cod. — 10. *βασανίζονται* cod. — 11. [*γὰρ*] add. Mill. Buns. post *ἐγένετο*. — 13. *κατὰ χώραν*. Cf. infra, *οἰκείῳ τόπῳ* Buns. — 14. *οὐδὲ* cod. Rœp. qui post *γνώσεται* (l. 15) add. *τι*.

μεγάλη ἄγνοια, ἵνα ἀποστῇ ἀπ' αὐτοῦ λύπη καὶ ὀδύνη καὶ στεναγμός· ἐπιθυμήσει γὰρ οὐδενὸς τῶν ἀδυνάτων οὐδὲ λυπηθήσεται. Καταλήψεται δὲ ὁμοίως καὶ τὸν μέγαν Ἄρχοντα τῆς Ὀγδοάδος ἡ ἄγνοια αὕτη, καὶ πάσας τὰς ὑποκειμένας αὐτῷ κτίσεις παραπλησίως, ἵνα μηδὲν κατὰ μηδὲν ὀρέγηται τῶν παρὰ φύσιν τινός, μηδὲ ὀδύνηται, καὶ οὕτως ἡ ἀποκατάστασις ἔσται πάντων κατὰ φύσιν τεθεμελιωμένων μὲν ἐν τῷ σπέρματι τῶν ὅλων ἐν ἀρχῇ, ἀποκατασταμένων δὲ καιροῖς ἰδίοις. Ὅτι δέ, φησίν, ἕκαστον ἰδίους ἔχει καιρούς, ἱκανὸς ὁ Σωτὴρ λέγων, « Οὔπω ἥκει ἡ ὥρα[243] μου, » καὶ οἱ μάγοι τὸν ἀστέρα τεθεαμένοι· ἦν γάρ, φησί, καὶ αὐτὸς ὑπὸ γένεσιν ἀστέρων, καὶ ὡρῶν ἀποκατάστασιν ἐν τῷ μεγάλῳ προλελογισμένος σωρῷ. Οὗτος ἐστὶν ὁ κατ' αὐτοὺς νενοημένος ἔσω ἄνθρωπος πνευματικὸς ἐν τῷ ψυχικῷ (ὃ ἐστὶν Υἱότης ἐνταῦθα ἀπολιποῦσα τὴν ψυχὴν, οὐ θνητὴν ἀλλὰ αὐτοῦ μένουσαν κατὰ φύσιν, ὥσπερ ἄνω λέλοιπεν ἡ

quoque magna illa ignorantia ut amoveantur ab illo et luctus et dolor et gemitus. Nihil enim ex iis quæ comprehendere non potest concupiscet nec dolore afficietur. Invadet etiam magnum Ogdoadis Archontem eadem ignorantia et similiter omnes creaturas illi subjectas, ut nulla re omnino contra naturam appetita non occurrat dolor, ac sic restituantur in pristinum statum et secundum uniuscujusque naturam quæ in universorum semine in principio constituta erant et restituantur temporibus propriis. Quod autem, ut ait hæreticus, unicuique sua tempora sint, satis probat quod dicit Salvator. « Non-« dum venit hora mea ; » et probat stella a magis visa. Nam, ut ait Basilides, ipse Jesus erat, sub genituram astrorum et plenæ revolutionis horarum in magno acervo, ratione præconceptus. Ille quidem est, secundum Basilidis discipulos, conceptus in animali interior et spiritualis homo (scilicet Filietas quæ dereliquit illic animam, non ut obeat sed ut maneat secundum naturam, veluti prima Filietas sursum reliquit Spiritum Sanctum qui Confinium

5. μηδένα cod. Mill. – κατὰ pro παρὰ cod. Vide supra, p. 363, l. 5. — 7. ἀποκατασταθησομένων Rœper.; ἀποκατασταμένων cod. Mill. Buns. — 8. καιρός cod. — 8-9. ἱκανῶς cod.; μάρτυς ἱκανὸς Buns. — 9. Evang. B. Joan. II, 4. — 9-10. Evang. B. Matth. II, 1, 2. — 10. ἐπὶ γένεσιν δι' ἀστέρων Bunsen.; κατὰ γένεσιν ὑπ' Jacob. — 11. σωρῷ cod.; σάρῳ Mill. Cf. supra, p. 353, l. 10. — 14. ὥσπερ] καίπερ cod. Mill. Buns.; καθάπερ Jacob.; ἤπερ Duncker. – λελυπεν cod.

πρώτη Υἱότης τὸ Ἅγιον Πνεῦμα τὸ Μεθόριον ἐν οἰκείῳ τόπῳ), ἰδίαν τότε περιβεβλημένος ψυχήν.

Ἵνα δὲ μηδὲν τῶν κατ' αὐτοὺς παραλείπωμεν, ὅσα καὶ περὶ Εὐαγγελίου λέγουσιν ἐκθήσομαι. Εὐαγγέλιον ἐστὶ κατ' αὐτοὺς ἡ τῶν ὑπερκοσμίων γνῶσις ὡς δεδήλωται, ἣν ὁ μέγας Ἄρχων οὐκ ἠπίστατο. Ὡς οὖν ἐδηλώθη αὐτῷ ὅτι καὶ τὸ Πνεῦμα Ἅγιον ἐστί, τουτέστι τὸ Μεθόριον, καὶ ἡ Υἱότης, καὶ Θεὸς ὁ τούτων αἴτιος πάντων ὁ οὐκ ὤν, ἐχάρη ἐπὶ τοῖς λεχθεῖσι καὶ ἠγαλλιάσατο, τουτέστι κατ' αὐτοὺς τὸ Εὐαγγέλιον. Ὁ δὲ Ἰησοῦς γεγένηται κατ' αὐτοὺς ὡς προειρήκαμεν. Γεγενημένης δὲ τῆς γενέσεως τῆς προδεδηλωμένης, γέγονε πάντα ὁμοίως κατ' αὐτοὺς τὰ περὶ τοῦ Σωτῆρος, ὡς ἐν τοῖς Εὐαγγελίοις γέγραπται. Γέγονε δὲ ταῦτα, φησίν, ἵνα ἀπαρχὴ τῆς φυλοκρινήσεως γένηται τῶν συγκεχυμένων ὁ Ἰησοῦς. Ἐπεὶ γάρ ἐστιν ὁ κόσμος διηρημένος εἰς Ὀγδοάδα, ἥτις ἐστὶν ἡ κεφαλὴ τοῦ παντὸς κόσμου (κεφαλὴ δὲ τοῦ παντὸς κόσμου) ὁ μέγας Ἄρχων, καὶ εἰς Ἑβδομάδα, ἥτις ἐστὶν ἡ κεφαλὴ τῆς Ἑβδομάδος, ὁ δημιουργὸς

factus est in suo proprio loco), qui propriam animam tunc indutus est.

Ne autem quidquam de Basilide silentio prætermittam, quæ de Evangelio discipuli ejus docent exponam. Evangelium est, ut dicunt, supernarum rerum cognitio, sicut manifestatum est, cujus magnus Archon fuerat ignarus. Quum igitur ei revelatum fuisset esse Spiritum Sanctum, id est Confinium, et Filietatem et Deum non entem omnium auctorem, gavisus est de dictis et exsultavit; hoc est secundum eos Evangelium. Jesus autem natus est, secundum eosdem hæreticos, ut supra diximus. Effecta generatione antea explicata, omnia quæ ad Salvatorem pertinent absoluta fuisse isti dicunt, quo modo narratum est in Scriptura. Hæc autem omnia sunt facta ut, quum quæque confusa discernerentur, hujusce discriminis initium fieret Jesus. Quum enim divisus sit mundus in Ogdoadem, quæ est caput universi mundi (caput autem universi mundi) et summus Archon, et in Hebdomadem, quæ est caput Hebdomadis vel omnium infra jacentium opifex, et in spa-

4. αὐτοῦ cod. Mill. Buns. Lege αὐτοὺς. — 8. ἠγαλλιάσατο cod. — 12. ἀπαρχὴ Bernays.; ἀπ' ἀρχῆς cod. Miller. — 13. φυλοκρίνης ἕως cod. Conf. Clem. Alex. *Strom.* II, VIII, 36 : ἀρχὴν τῆς σοφίας φυλοκρινητικῆς. — 15. Uncis inclusa delenda sunt, utpote male repetita.

τῶν ὑποκειμένων, καὶ εἰς τοῦτο τὸ διάστημα τὸ καθ' ἡμᾶς, ὅπου ἐστὶν ἡ ἀμορφία, ἀναγκαῖον ἦν τὰ συγκεχυμένα φυλοκρινηθῆναι διὰ τῆς τοῦ Ἰησοῦ διαιρέσεως. Ἔπαθεν οὖν τοῦτο ὅπερ ἦν (244) αὐτοῦ σωματικὸν μέρος, ὃ ἦν τῆς ἀμορφίας καὶ ἀπεκατέστη εἰς τὴν ἀμορφίαν. Ἀνέστη δὲ τοῦτο ὅπερ ἦν ψυχικὸν αὐτοῦ μέρος, ὅπερ ἦν τῆς Ἑβδομάδος, καὶ ἀπεκατέστη εἰς τὴν Ἑβδομάδα· ἀνέστησε δὲ τοῦτο ὅπερ ἦν τῆς ἀκρωρείας οἰκεῖον τοῦ μεγάλου Ἄρχοντος, καὶ ἔμεινε παρὰ τὸν Ἄρχοντα τὸν μέγαν· ἀνήνεγκε δὲ μέχρις ἄνω τοῦτο, ὅπερ ἦν τοῦ Μεθορίου Πνεύματος, καὶ ἔμεινεν ἐν τῷ Μεθορίῳ Πνεύματι. Ἀπεκαθάρθη δὲ ἡ Υἱότης ἡ τρίτη δι' αὐτοῦ ἡ ἐγκαταλελειμμένη πρὸς τὸ εὐεργετεῖν καὶ εὐεργετεῖσθαι, καὶ ἀνῆλθε πρὸς τὴν μακαρίαν Υἱότητα διὰ πάντων τούτων διελθοῦσα. Ὅλη γὰρ αὐτῶν ἡ ὑπόθεσις, σύγχυσις οἱονεὶ πανσπερμίας καὶ φυλοκρίνησις καὶ ἀποκατάστασις τῶν συγκεχυμένων εἰς τὰ οἰκεῖα. Τῆς οὖν φυλοκρινήσεως ἀπαρχὴ γέγονεν ὁ Ἰησοῦς, καὶ τὸ πάθος οὐκ ἄλλου τινὸς χάριν γέγονεν [ἢ] ὑπὲρ τοῦ φυλοκρινηθῆναι τὰ συγκεχυμένα. Τούτῳ γὰρ τῷ τρόπῳ φησὶν ὅλην τὴν Υἱότητα τὴν καταλελειμμένην ἐν τῇ ἀμορφίᾳ πρὸς

tium nostrum ubi materia informis est, necesse erat ut confusa discernerentur per divisionem Jesu. Hanc igitur divisionem passa est quæ in illo pars corporalis inerat, quæ quidem ex materia informi exorta ad materiam informem restituta est. Ascendit superius quæ in Jesu pars spiritualis erat et ex Hebdomade exorta ad Hebdomadem restituta est. Resuscitavit autem eam partem quæ ad summam magni Archontis sedem pertinebat, et juxta magnum Archontem mansit. Sustulit sursum etiam quod ex Confinio Spiritu provenerat, et in Confinio mansit. Filietas autem tertia, quæ derelicta fuerat ut bene ageret et bene haberetur, purificata est per Jesum et superius ascendit ad beatam Filietatem omnibus his diversis sedibus trajectis. Totum enim eorum argumentum est confusio universorum seminum et discretio et restitutio omnium quæ confusa erant in pristinum et proprium statum. Hujusce autem discriminis Jesus initium fuit, ac passus est ob nullam aliam causam nisi ut prius confusa jam discernerentur. Sic ait totam Filietatem, derelictam

2. *Φυλοκριθῆναι* cod. Bunsen. — 13. *σύγχησις* cod. — 15-16. *ἢ ὑπὸ* Miller. Bunsen.; [*ἢ*] Jacob. Rœperus. Legendum *ὑπέρ*. — 16. *Φυλοκριθῆναι* Bunsenius. — 17. *καταλελεγμένην* cod. Bunsen. corr. Millerus.

τὸ εὐεργετεῖν καὶ εὐεργετεῖσθαι διαφυλοκρινηθῆναι, ᾧ τρόπῳ καὶ ὁ Ἰησοῦς ᾠφυλοκρίνηται. Ταῦτα μὲν οὖν ἐστιν ἃ καὶ Βασιλείδης μυθεύει σχολάσας κατὰ τὴν Αἴγυπτον, καὶ ᾠαρ' αὐτῶν τὴν τοσαύτην σοφίαν διδαχθεὶς ἐκαρποφόρησε τοιούτους καρπούς.

ϛ'. Σατορνεῖλος.

28. Σατορνεῖλος δέ τις συνακμάσας τῷ Βασιλείδῃ κατὰ τὸν αὐτὸν χρόνον, διατρίψας δὲ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐδογμάτισε τοιαῦτα ὁποῖα καὶ Μένανδρος. Λέγει δὲ ἕνα Πατέρα ἄγνωστον τοῖς ᾶσιν ὑπάρχειν, τὸν ᾠοιήσαντα Ἀγγέλους, Ἀρχαγγέλους, Δυνάμεις, Ἐξουσίας. Ἀπὸ δὲ ἑπτά τινων ἀγγέλων τὸν κόσμον γεγενῆσθαι καὶ ᾶντα τὰ ἐν αὐτῷ, καὶ τὸν ἄνθρωπον δὲ ἀγγέλων [245] εἶναι ᾠοίημα, ἄνωθεν ἀπὸ τῆς αὐθεντίας φαινῆς εἰκόνος ἐπιφανείσης,

in informi materia ut bene ageret et bene haberetur, discretam fuisse eodem modo quo Jesus discretus est. Hæ quidem sunt fabulæ quas Basilides, postquam in Ægypto mansisset, commentus est, et apud Ægyptios hanc summam sapientiam edoctus fructus tales protulit.

II. SATURNILUS.

28. Saturnilus, qui floruit eodem tempore quo Basilides et Antiochiæ in urbe Syriæ commoratus est, eadem docuit quæ Menander. Dicit esse «unum «Patrem incognitum omnibus, qui fecit Angelos, Archangelos, Virtutes, Po«testates. A septem autem quibusdam angelis mundum factum et omnia quæ «in eo; et hominem esse angelorum creationem desursum a summa potestate «lucida imagine apparente, quam quum tenere non potuissent, inquit Satur-

1. διαφυλοκρινηθῆναι Mill.; διαφυλοκριθῆναι cod. Buns.; δεῖν φυλοκρινηθῆναι Dunck. — 3. τὴν Αἴγυπτον] Bernays. et Buns. male legunt τὸν Περίπατον. Apud Eusebium enim legimus de Saturnilo et Basilide : ὁ μὲν κατὰ Συρίαν, ὁ δὲ κατ' Αἴγυπτον συνεστήσαντο θεομισῶν αἱρέσεων διδασκαλεῖα (*Hist. eccl.* IV, c. VII) quæ etiam notat Dunck. — Cap. II, tit. De Saturnilo lege B. Iren. lib. I, c. XXIV; Tertull. *Præs.* XLVI; B. Epiph. *Hær.* XXIII; Theod. *Hær. fab.* l. I, c. III; B. Aug. *Hær.* III; Eus. *Hist. eccles.* lib. IV, c. VII. — 5. Σατορνῖλος B. Epiph. Theod.; Σατορνῖνος Euseb. – Basilides et Saturnilus a B. Epiph. vocantur συσχολασταί. — 5 sqq. Hic habemus ipsa græca verba B. Irenæi, ut liquet ex veteri latina versione, quæ sola supererat. Theodoretus ab Irenæo vel a nostro, Epiphanius autem ab Irenæo sua mutuati sunt. — 8. τοῦτον ᾠοιήσαντα cod. — 11. φωνῆς cod. Mill. pro φαινῆς.

ἦν κατασχεῖν μὴ δυνηθέντες διὰ τὸ παραχρῆμα, φησίν, ἀναδραμεῖν ἄνω, ἐκέλευσαν ἑαυτοῖς λέγοντες, « Ποιήσωμεν ἄνθρωπον κατ' « εἰκόνα καὶ καθ' ὁμοίωσιν · » οὗ γενομένου, φησίν, καὶ [μὴ] δυναμένου ἀνορθοῦσθαι τοῦ πλάσματος διὰ τὸ ἀδρανὲς τῶν ἀγγέλων, ἀλλὰ ὡς σκώληκος σκαρίζοντος, οἰκτείρασα αὐτὸν ἡ ἄνω Δύναμις, διὰ τὸ ἐν ὁμοιώματι αὐτῆς γεγονέναι, ἔπεμψε σπινθῆρα ζωῆς, ὃς διήγειρε τὸν ἄνθρωπον καὶ ζῆν ἐποίησε. Τοῦτον οὖν τὸν σπινθῆρα τῆς ζωῆς μετὰ τὴν τελευτὴν ἀνατρέχειν πρὸς τὰ ὁμόφυλα λέγει, καὶ τὰ λοιπά, ἐξ ὧν ἐγένετο, εἰς ἐκεῖνα ἀναλύεσθαι. Τὸν δὲ Πατέρα ἀγέννητον ὑπέθετο καὶ ἀσώματον καὶ ἀνείδεον · δοκήσει δὲ ἐπιπεφηνέναι ἄνθρωπον, καὶ τὸν τῶν Ἰουδαίων Θεὸν ἕνα τῶν ἀγγέλων εἶναι φησί, καὶ διὰ τὸ βούλεσθαι τὸν Πατέρα καταλῦσαι πάντας τοὺς ἄρχοντας · παραγενέσθαι τὸν Χριστὸν ἐπὶ καταλύσει τοῦ τῶν Ἰουδαίων Θεοῦ, καὶ ἐπὶ σωτηρίᾳ τῶν πειθομένων αὐτῷ · εἶναι δὲ τούτους ἔχοντας τὸν σπινθῆρα τῆς ζωῆς ἐν αὐτοῖς. Δύο γὰρ γένη

« nilus, eo quod statim recurrerit sursum, adhortati sunt semetipsos dicen-
« tes : Faciamus hominem ad imaginem et similitudinem. Qui quum factus
« esset et non potuisset erigi plasma propter imbecillitatem angelorum, sed
« quasi vermiculus scarizaret, miserantem ejus desuper Virtutem, quoniam
« in similitudinem ejus esset factus, emisisse scintillam vitæ, quæ erexit ho-
« minem et vivere fecit. Hanc igitur scintillam vitæ post defunctionem re-
« currere ad ea quæ sunt ejusdem generis dicit, et reliqua, ex quibus facta
« sunt, in illa resolvi. Salvatorem autem innatum demonstravit et incorpo-
« ralem et sine figura : specie visum hominem et Judæorum Deum unum ex
« angelis esse dixit. Et propter hoc addit quod Pater ejus voluerit dissolvere
« omnes principes ; advenisse Christum ad destructionem Judæorum Dei,
« et ad salutem credentium ei ; esse autem hos qui habent in ipsis scin-

Vetus interpretatio habet : « Desursum a « summa potestate lucida imagine appa- « rente. » Dunckerus legit *Φωτεινῆς*. — 1. *ἦν* cod. — 2. *ἄνω* Rœp. ; *ἄνωθεν* cod. Mill. — 2-3. Cf. *Gen.* 1, 26. — 3. [*μὴ*] add. Mill. — 6. *πέμψαι* cod. — 9-10. *Πατέρα ἀγένητον* cod. Mill. pro *Σωτῆρα ἀγέννητον*. Vetus interpret. habet : « Sal- « vatorem autem innatum, » et Theod. : *τὸν δὲ Σωτῆρα... ἀγέννητον... ἀσώματον*. — 12. *διὰ τοῦτο* cod. Millerus. — 15. *τούτους τοὺς* Dunckerus. B. Epiph. habet etiam : *τούτους ἔχοντας τὸν σπινθῆρα...*

τῶν ἀνθρώπων ὑπὸ τῶν ἀγγέλων πεπλάσθαι ἔφη, τὸν μὲν πονηρόν, τὸν δὲ ἀγαθόν, καὶ ἐπειδὴ οἱ δαίμονες τοῖς πονηροῖς ἐβοήθουν, ἐληλυθέναι τὸν Σωτῆρα ἐπὶ καταλύσει τῶν φαύλων ἀνθρώπων καὶ δαιμόνων, ἐπὶ σωτηρίᾳ δὲ τῶν ἀγαθῶν. Τὸ δὲ γαμεῖν καὶ γεννᾶν ἀπὸ τοῦ Σατανᾶ φησὶν εἶναι. Οἱ πλείους δὲ τῶν ἀπ' ἐκείνου καὶ ἐμψύχων ἀπέχονται, διὰ τῆς προσποιήτου ταύτης ἐγκρατείας [ἐπαγαγόμενοι πολλούς]. Τὰς δὲ προφητείας, ἃς μὲν ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων λελαλῆσθαι, ἃς [246] δὲ ἀπὸ τοῦ Σατανᾶ, ὃν καὶ αὐτὸν ἄγγελον ἀντιπράτ|οντα τοῖς κοσμοποιοῖς ὑπέθετο, μάλισ|α δὲ τῷ τῶν Ἰουδαίων Θεῷ. Ταῦτα μὲν οὖν ὁ Σατορνεῖλος.

γ'. Περὶ Μαρκίωνος.

29. Μαρκίων δὲ ὁ Ποντικὸς, πολὺ τούτων μανικώτερος, τὰ πολλὰ

«tillam vitæ. Duo enim genera hominum plasmata esse ab angelis dixit «(Saturnilus), alterum quidem nequam, alterum autem bonum. Et quo«niam dæmones pessimos adjuvarent, venisse Salvatorem ad dissolutionem «malorum hominum et dæmonum, ad salutem autem bonorum. Nubere «autem et generare a Satana dicunt esse.» Multi autem ex istius discipulis animalibus abstinent per fictam hujusmodi continentiam seducentes multos. Prophetias autem, quasdam quidem ab iis angelis qui mundum fabricaverunt esse dictas, quasdam autem a Satana, quem et ipsum angelum statuit esse et adversarium mundi fabricatoribus, maxime autem Judæorum Deo. Hæc docuit Saturnilus.

III. DE MARCIONE.

29. Marcion Ponticus, multo illis vesanior, opiniones plurimorum mittens

1 sqq. τὸ μὲν... τὸ δὲ Dunck. Apud Theod. legimus : δύο τῶν ἀνθρώπων..... διαφοράς, καὶ τοὺς μὲν... τοὺς δὲ... et apud B. Epiph. : δύο πεπλάσθαι ἀνθρώπους, ἕνα ἀγαθὸν καὶ ἕνα φαῦλον. — 3. ἐπικαταλύσει cod. — 4. γενᾶν cod. — 5. πλείους τε cod. — 6-7. Uncis inclusa supplevi e B. Epiphan. apud quem legimus : οἱ πλείους αὐτῶν ἐμψύχων ἀπέχονται, ὅπως... τινας ἐπαγάγωνται εἰς τὴν αὐτῶν ἀπάτην. — 9. κοσμικοῖς cod. Mill. Legendum κοσμοποιοῖς. – ὑπέθεντο cod. Mill.; φάσκει B. Epiphan. Vetus versio habet : «Adversarium mundi fabricatoribus os«tendit.» — 10. τὸν... Θεόν cod. Mill. corr. ex interpret. latina et e Theod. — Cap. III, tit. De Marcione lege B. Iren. I, XXVII; Tertull. *Adv. Marc.* et *Præscr.* XXX;

τῶν πλειόνων παραπεμψάμενος ἐπὶ τὸ ἀναιδέστερον ὁρμήσας, δύο ἀρχὰς τοῦ παντὸς ὑπέθετο, ἀγαθόν τινα λέγων καὶ τὸν ἕτερον πονηρόν· καὶ αὐτὸς δὲ νομίζων καινόν τι παρεισαγαγεῖν σχολὴν ἐσκεύασεν ἀπονοίας γέμουσαν καὶ κυνικοῦ βίου, ὧν τις μάχλος· οὗτος νομίζων λήσεσθαι τοὺς πολλοὺς ὅτι μὴ Χριστοῦ τυγχάνοι μαθητής, ἀλλ' Ἐμπεδοκλέους πολὺ αὐτοῦ προγενεστέρου τυγχάνοντος, ταὐτὰ ὁρίσας ἐδογμάτισε, δύο εἶναι τὰ τοῦ παντὸς αἴτια, Νεῖκος καὶ Φιλίαν. Τί γὰρ φησὶν ὁ Ἐμπεδοκλῆς περὶ τῆς τοῦ κόσμου διαγωγῆς; Εἰ καὶ προείπομεν, ἀλλά γε καὶ νῦν πρὸς τὸ ἀντιπαρατεθεῖναι τῇ τοῦ κλεψιλόγου αἱρέσει, οὐ σιωπήσομαι. Οὗτος φησὶν εἶναι τὰ πάντα στοιχεῖα, ἐξ ὧν ὁ κόσμος συνέστηκε καὶ ἔστιν, ἕξ, δύο μὲν ὑλικά, Γῆν καὶ Ὕδωρ, δύο δὲ ὄργανα, οἷς τὰ ὑλικὰ κοσμεῖται καὶ μεταβάλλεται, Πῦρ καὶ Ἀέρα, δύο δὲ τὰ ἐργαζόμενα τοῖς ὀργάνοις τὴν ὕλην καὶ δημιουργοῦντα, Νεῖκος καὶ Φιλίαν, λέγων ὧδέ πως·

et in majorem impudentiam irruens, duo principia universi mundi supposuit, unum bonum esse dicens, alterum autem malum. Ipse quoque ratus se aliquid novi introducere, scholam formavit plenam amentiæ et cynici cultus, ut qui lascivus erat. Et ipse arbitratus est homines ignoraturos esse illum non esse Christi discipulum sed Empedoclis, qui ipsius temporibus multo erat antiquior. Hæc statuens docuit duo esse principia universi mundi, Discordiam et Amicitiam. Quid enim dicit Empedocles de mundi productione? Etsi jam ea supra exposuimus, non prætermittemus nunc ut possimus eadem conferre cum hæresi istius furis doctrinarum. Empedocles ait esse sex omnia elementa ex quibus mundus constitutus est et existit : duo quidem materialia, Terram et Aquam ; duo instrumenta, quibus materialia elementa ordinantur et moventur, Ignem et Aera ; duo autem quæ instrumentis elaborant materiam eamque condunt, Discordiam et Amicitiam ; quæ omnia expressit hisce verbis :

B. Epiph. *Hær.* XLII ; Theod. *Hær. fab.* I, XXIV ; Eus. *Hist. eccl.* V, XIII, XVI ; B. Aug. *Hær.* XXII ; Philost. XLV ; Esnig, *Lib. de hær.* — *h.* γέμουσα cod. — μάχιμος cod. ; μάχλος conj. Mill. an μανικός? Duncker. at supra μανικώτερος legitur. R. Scotto videtur hoc vocabulum glossa esse. — ὅτι cod. pro οὗτος, corr. Mill. — 6. αὐτῷ cod. Mill. Legendum αὐτοῦ. At forsan αὐτῷ latinismus. — 7. ταῦτα cod. Mill.

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς [ἀργής], Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεύς,
Νῆστις γ' ἡ δακρύοις τέγγει κρούνωμα βρότειον.

Ζεύς ἐστι τὸ πῦρ, Ἥρη δὲ φερέσβιος, ἡ γῆ ἡ φέρουσα[247] τοὺς πρὸς τὸν βίον καρπούς· Ἀϊδωνεὺς δέ, ὁ ἀήρ, ὅτι πάντα δι' αὐτοῦ βλέποντες, μόνον αὐτὸν οὐ καθορῶμεν· Νῆστις δὲ τὸ ὕδωρ, μόνον γὰρ τοῦτο ὄχημα τροφῆς αἴτιον γινόμενον πᾶσι τοῖς τρεφομένοις, αὐτὸ καθ' αὑτὸ τρέφειν οὐ δυνάμενον τὰ τρεφόμενα. Εἰ γὰρ ἔτρεφε, φησίν, οὐκ ἄν ποτε λιμῷ κατελήφθη τὰ ζῷα, ὕδατος ἐν τῷ κόσμῳ πλεονάζοντος ἀεί· διὰ τοῦτο Νῆστιν καλεῖ τὸ ὕδωρ, ὅτι τροφῆς αἴτιον γινόμενον, τρέφειν οὐκ εὐτονεῖ τὰ τρεφόμενα. Ταῦτα μὲν οὖν ἐστίν, ὡς τύπῳ περιλαβεῖν, τοῦ κόσμου τὰ συνέχοντα τὴν ὅλην ὑπόθεσιν, Ὕδωρ καὶ Γῆ ἐξ ὧν τὰ γινόμενα, Πῦρ καὶ Πνεῦμα τὰ ὄργανα καὶ τὰ δραστήρια, Νεῖκος δὲ καὶ Φιλία τὰ δημιουργοῦντα

Quæ sint quatuor omnium radices audi;
Jupiter splendens et Juno vitalis atque Dis
et Nestis quæ lacrymis humanam scaturiginem humectat.

Jupiter est ignis, Juno vitalis est terra quæ fert fructus vitæ; Dis est aer, quod omnia per ipsum videntes ipsum solum non videamus. Nestis (jejunium) est aqua, quia solum vehiculum alimenti omnibus causa est nutritionis neque potest per seipsum nutrire quæ nutriuntur. Quod si nutriret, ait Empedocles, nunquam fame perirent animalia, aqua enim mundus semper abundat. Quapropter Nestim (jejunium) vocat aquam, quod causa sit nutritionis, neque tamen valeat ea quæ aluntur nutrire. Sunt igitur ista, ut verbo complectar, quæ efficiunt omnem constitutionem mundi, Aqua et Terra ex quibus omnia quæ sunt proveniunt, et Ignis et Aer qui sunt instrumenta et agunt, et Discordia et Amicitia quæ omnia formant artificiose. Amicitia

1. De Empedoclis versibus a nostro servatis lege Schneidew. *Disquisitionem*, *Philol.* t. VI, p. 155 sqq.; Stein. *Fragmenta Emped.*; Brink. *Philol.* VI, p. 730 sqq.; Th. Bergk in *Jahnii nov. Annal. Philol.* a. 1853, t. LXVIII, p. 21 sqq.; A. Mullach. in *Quæst. Emped. spec. secundo*, Berolini, 1853. — 1-3. Hi versus Emped. 55-57 sunt edit. Karsten, et 33-35 edit. Stein. Iidem repetuntur infra, lib. X, § 7, nonnullis mutatis. — 2. ἀργής om. cod. — ἡ δὲ Ἀϊδ. cod. — 3. κρουνῷ μακρόγιον cod.; infra, l. X, c. VII, eodem versu redeunte legimus κρουνῷ μαβρότειον pro κρούνωμα βρότειον. — 5-6. βλέποτες cod. — 8. καθ' αὐτὸ (sic) cod.

τεχνικῶς. Καὶ ἡ μὲν Φιλία εἰρήνη τίς ἐστι καὶ ὁμόνοια καὶ στοργή, ἕνα τέλειον [καὶ] κατηρτισμένον εἶναι προαιρουμένη τὸν κόσμον· τὸ δὲ Νεῖκος ἀεὶ διασπᾷ τὸν ἕνα καὶ κατακερματίζει ἢ ἀπεργάζεται ἐξ ἑνὸς πολλά. Ἔστι μὲν οὖν τὸ μὲν Νεῖκος αἴτιον τῆς κτίσεως πάσης, ὃ φησὶν οὐλόμενον εἶναι, τουτέστιν ὀλέθριον· μέλει γὰρ αὐτῷ ὅπως διὰ παντὸς αἰῶνος ἡ κτίσις αὕτη συνεστήκῃ· καὶ ἔστι πάντων τῶν γεγονότων τῆς γενέσεως δημιουργὸς καὶ ποιητὴς τὸ Νεῖκος τὸ ὀλέθριον· τῆς δὲ ἐκ τοῦ κόσμου τῶν γεγονότων ἐξαγωγῆς καὶ μεταβολῆς καὶ εἰς τὸ ἓν ἀποκαταστάσεως, ἡ Φιλία. Περὶ ὧν ὁ Ἐμπεδοκλῆς [φησιν] ὅτι ἔστιν ἀθάνατα δύο καὶ ἀγένητα, καὶ ἀρχὴν τοῦ γενέσθαι μηδέποτε εἰληφότα· ἀλλὰ λέγει τοιοῦτόν τινα τρόπον·

(248) ἦ γὰρ καὶ πάρος ἦν τε καὶ ἔσσεται, οὐδέποτ', οἴω,
τούτων ἀμφοτέρων κενιώσεται ἄσπετος αἰών.

est pax quædam et concordia et ingenita caritas quæ enititur mundus ut sit unus perfectus et consummatus. Discordia autem distrahit et in minutas partes dividit et ex uno efficit multa. Discordia enim, quam ait Empedocles esse *οὐλομένον*, id est exitialem, est causa omnis constitutionis mundi. Illi enim curæ est ut per omne ævum constitutio illa permaneat. Et est omnium genitorum generationis fabricator et auctor ista Discordia perniciosa. Amicitia vero efficit ut omnes geniti educantur e mundo et convertantur et rursus in unum restituantur. Quod autem illæ duo sint immortales et increatæ et existendi nunquam initium habuerint fere his verbis expressit Empedocles :

profecto enim et ante erat et erit; nunquam, puto,
istis ambobus carebit inextinguibile ævum.

2. *κατειρτισμένον* cod. corr. Mill. et add. *καὶ*. — 6. *αὐτὴ συνέστηκε* cod. Mill. — 9. *τὸν ἕνα* cod. Legendum *τὸ ἕν*. Conf. infra, p. 373, l. 8 : *ἐκ πολλῶν..... τὸ ἕν*. — 10. *φησιν* restitui quod deerat ut *ἀλλὰ* videtur indicare. Conf. etiam supra, p. 370, l. 10 sqq. : *οὗτος φησὶν κ. τ. λ.* — 11. *ἀλλὰ* delendum censet Millerus; *ἀλλαχοῦ* Dunckerus; *ἄλλῃ τε* Rœperus. – *καὶ τοῦτον τὸν* Rœp. pro *τοιοῦτόν τινα*. Conf. supra, p. 274, l. 1-2. — 12. *εἰ* cod. Miller. pro *ἦ*. – *τε* om. cod. Miller. – *ἔσται* cod. – *οὐδέπω τοίω* cod. — 13. *κενώσεται* cod. corr. Millerus; *κενεώσεται* Dunckerus; *κεκενώσεται* Sauppius. – *ἄσβεστος* cod. Legendum *ἄσπετος* quod Empedoclis vera esse lectio videtur. Nostrum autem *ἄσβεστος* scripsisse arbitror, et, ob accentum, veluti dactylum scandisse.

Τίνων τούτων; τοῦ Νείκους καὶ τῆς Φιλίας· οὐ γὰρ ἤρξαντο γενέσθαι, ἀλλὰ προῆσαν καὶ ἔσονται ἀεί, διὰ τὴν ἀγεννησίαν φθορὰν ὑπομεῖναι μὴ δυνάμενα. Τὸ δὲ Πῦρ [καὶ τὸ Ὕδωρ] καὶ ἡ Γῆ καὶ ὁ Ἀὴρ θνήσκοντα καὶ ἀναβιοῦντα. Ὅταν μὲν γὰρ ἀποθάνῃ ταῦτα ὑπὸ τοῦ Νείκους γινόμενα, παραλαμβάνουσα αὐτὰ ἡ Φιλία προσάγει καὶ προσλίθησι καὶ προσοικειοῖ τῷ Παντί, ἵνα μένῃ τὸ Πᾶν ἓν ὑπὸ τῆς Φιλίας ἀεὶ διακοσμούμενον μονοτρόπως καὶ μονοειδῶς. Ὅταν δὲ ἡ Φιλία ἐκ πολλῶν ποιήσῃ τὸ ἕν καὶ τὰ διεσπασμένα προσοικονομήσῃ τῷ ἑνί, πάλιν τὸ Νεῖκος ἀπὸ τοῦ ἑνὸς ἀποσπᾷ καὶ ποιεῖ πολλά, τουτέστι Πῦρ, Ὕδωρ, Γῆν, Ἀέρα, τὰ ἐκ τούτων γεννώμενα ζῷα καὶ φυτὰ καὶ ὅσα μέρη τοῦ κόσμου κατανοοῦμεν. Καὶ περὶ μὲν τῆς τοῦ κόσμου ἰδέας ὁποία τίς ἐστιν ὑπὸ τῆς Φιλίας κοσμουμένη, λέγει τοιοῦτόν τινα τρόπον·

οὐ γὰρ ἀπὸ νώτοιο δύο κλάδοι ἀΐσσονται,

Quæ sunt hæ duo? Discordia et Amicitia. Non enim inceperunt esse, sed ante fuerunt et erunt semper, quia non possunt, utpote ingenita, subire corruptionem. Ignis autem et Aqua et Terra et Aer moriuntur et reviviscunt. Quum quidem perierint quæ ex Discordia nascuntur, assumpta ea Amicitia adducit et apponit et adjungit Universo ut unum maneat Universum illud quod Amicitia semper coordinat uno modo et una forma. Quum vero Amicitia ex multis effecerit unum et divisa adjunxerit Universo uni, rursus Discordia ex uno distrahit et facit multa, id est, Ignem, Aquam, Terram, Aera, et quæ ex istis proveniunt animalia et plantas et quascumque mundi partes observamus. Et quæ sit hujus mundi species quam instruit Amicitia, Empedocles dicit his fere verbis :

neque ei e dorso duo eminent rami,

1. ἤρξατο cod. — 3. [καὶ τὸ ὕδωρ] restituenda. Conf. infra, l. 10. — 4. θνήσκουσι καὶ ἀναβιοῦσι conj. Saupp. — 7. διὰ κοσμομούμενον cod. corr. Mill. — 8. ποιήσει cod. corr. Mill. — 8-9. προσοικονομήσει cod.; προσοικειώσῃ Rœper. Duncker. — 10. καὶ τὰ conj. Saupp. — 12. κοσμομουμένη λέγει, λέγει (sic) cod. — 14. Emped. vss. 360-362, ed. Karst. Cod. habet : οὐ γὰρ ἀπὸ νότοιο δύο κλάδοι ἀΐσονται. Stein. legit : οὐ μὲν ἀπαὶ νώτοιο δύο κλάδοι ἀΐσσονται.

οὐ πόδες, οὐ θοὰ γοῦν', οὐ μήδεα λαχνήεντα,
ἀλλὰ σφαῖρος ἔην καὶ [πάντ'] ἴσος ἐσ[ὶν ἑαυτῷ.

Τοιοῦτόν τι καὶ κάλλισ[τον εἶδος τοῦ κόσμου ἡ Φιλία ἐκ πολλῶν ἓν ἀπεργάζεται· τὸ δὲ Νεῖκος τὸ τῆς τῶν κατὰ μέρος διακοσμήσεως αἴτιον ἐξ ἑνὸς ἐκείνου ἀποσπᾷ [249] καὶ ἀπεργάζεται πολλά. Καὶ τοῦτο ἐσ[ὶν ὃ λέγει περὶ τῆς ἑαυτοῦ γεννήσεως ὁ Ἐμπεδοκλῆς,

τῶν καὶ ἐγὼ νῦν εἰμὶ φυγὰς θεόθεν καὶ ἀλήτης,

τουτέσ[ι θεὸν καλῶν τὸ ἓν καὶ τὴν ἐκείνου ἑνότητα ἐν ᾧ ἦν πρ[ὶν ὑπὸ τοῦ Νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ Νείκους διακόσμησιν. Νεῖκος γάρ φησι μαινόμενον καὶ τεταραγμένον καὶ ἄσ[ατον τὸν δημιουργόν, τόδε τοῦ

non pedes, non agilia genua, non inguina genitalia,
at rotundus erat et ex omni parte sibimet æqualis.

Simile aliquid operatur Amicitia et pulcherrimam formam mundi ex multis unam efficit. Discordia autem, quæ causa est dispositionis omnium partium mundi, ex uno isto abstrahit et efficit multa. Hoc est quod dicit Empedocles de sua generatione,

quorum nunc ego sum cœlitus exsul et profugus,

vocans divinum hoc unum et hanc unitatem in qua erat antequam Discordia abstraheretur et existeret in multis his rebus quas disponit Discordia. Dicit enim Empedocles Discordiam furentem et turbulentam et mobilem de-

1. Cod. habet: *γούνατ', οὐ μήδεα γενήεντα*. Quæ ex edit. correcta sunt. — 2. Cod. habet: *καὶ ἴσος ἐσ[ὶν αὐτῷ* quæ Millerus notat sic emendanda: *ἀλλὰ σφαῖρος ἔην καὶ πάντ' ἴσος ἐσ[ὶν ἑαυτῷ*. In voce *ἴσος* semper primam corripit Emped. Cf. vss. 107 et 205, ed. Karsten. At Rœperus: Si vere, videndum an pro *ἐσ[ὶν* substituas *ἔσκεν*, ac si Empedocles *ἴσος* dixerit pro *ἶσος*, ut Karstenius vult, an in *καὶ* lateat *πάντη δ'* (de *ἑαυτῷ* enim nihil dubium); ipsum versum autem Hippolytus aliunde assuerit. — 7. Vs. 7, ed. Karst.; vs. 381, ed. Stein.; *νῦν* additum ex aliis fontibus. — 10-11. Cf. vs. Emped. 383, Stein.; 8, Karst. *Νείκη γὰρ, φησὶ, μαινόμενον καὶ* cod. Mill. Forsan *Νείκει, η* et *ει* sæpe confusis. Malim *Νεῖκος*. Dunckerus legit: *Νείκεϊ γάρ, φησί, μαινομένῳ [πίσυνος, Νεῖκος μαινόμενον] τεταραγμένον*. Mullachius autem: *Νεῖκος γάρ φησι μαινόμενον καὶ*. — 11. *καὶ* delendum. — *τεταγμένον* cod.; *τεταραγμένον* Miller. — *τόδε* cod.; *τόνδε* Miller.; *τοῦδε* Rœperus.

κόσμου [Νεῖκος] ὁ Ἐμπεδοκλῆς ἀποκαλῶν· αὕτη γὰρ ἐστὶν ἡ καταδίκη καὶ ἀνάγκη τῶν ψυχῶν, ὧν ἀποσπᾷ τὸ Νεῖκος ἀπὸ τοῦ ἑνὸς καὶ δημιουργεῖ καὶ ἐργάζεται, ὃ λέγει τοιοῦτόν τινα τρόπον·

ὃς καὶ ἐπίορκον ἁμαρτήσας ἐπομώσει,
δαιμόνιοί τε μακραίωνος λελάχασι βίοιο·

δαίμονας τὰς ψυχὰς λέγων μακραίωνας, ὅτι εἰσὶν ἀθάνατοι καὶ μακροὺς ζῶσιν αἰῶνας·

τρὶς μὲν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι·

μακαρίους καλῶν τοὺς συνηγμένους ὑπὸ τῆς Φιλίας ἀπὸ τῶν πολλῶν εἰς τὴν ἑνότητα τοῦ κόσμου τοῦ νοητοῦ. Τούτους οὖν φησὶν ἀλάλησθαι καὶ

miurgum esse, Discordiam vocans conditorem hujus mundi. Hæc est etiam condemnatio et pœna animarum quas abstrahit Discordia ex unitate et condit et elaborat, quæ quidem fere his verbis expressit Empedocles.

qui et peccavit et pejerabit,
et dæmones qui longævam sortiti sunt vitam;

dicens dæmones animas longævas, quod sint immortales et per longa vivant sæcula,

ter dena horarum millia procul a beatis errare;

beatos vocat quos Amicitia ex multis efficit ut sint in unitate mundi spiritualis. Hos igitur dæmones ait errare et

1. [Νεῖκος] addidi quod deesse τόδε indicat. — 3. λέγων cod. Mill.; ὁ λέγει Saupp. — 4-5. Emped. vs. 4, ed. Karst.; vss. 372-373, edit. Stein. Schneid. sic legit, priorem versum Empedoclis apponens: εὔτέ τις ἀμπλακίῃσι φρενῶν ῥίλα γυῖα μιήνῃ ‖ αἵμασιν, ἢ ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ. Steinius autem: εὔτέ τις ἀμπλακίῃσι φόνῳ ῥίλα γυῖα μιήνῃ ‖ αἵματος ἢ ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ. Hos versus Origenes adducit, *Cont. Cels.* VIII, 53. — 5. Mullachius legit: δαίμων, οἵτε βίοιο λελόγχασι μακραίωνος. Steinius autem: δαίμονες οἵτε μακραίωνος λελάχασι βίοιο. Millerus legit λελάχωσι, Schneid. autem λελάχασι. Conf. *Philol.* I, p. 162-163; βίοις cod. — 6. μακρεῶνας cod. — 8. Emped. v. 5, Karst.; vs. 374, Stein. qui legit τρὶς μιν. – ἀλάλησθε cod. — 9. μακαρίας cod. Mill. pro μακαρίους, α et ου confusis; μάκαρας Duncker. – ἀπὸ τῆς cod. pro ὑπὸ τῆς.

φυομένους πάντοῖα, διὰ χρόνου, εἴδεα θνητῶν
ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.

Ἀργαλέας κελεύθους φησὶν εἶναι τῶν ψυχῶν τὰς εἰς τὰ σώματα μεταβολὰς καὶ μετακοσμήσεις. Τοῦτ' ἐστὶν ὃ λέγει·

ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους·

(250) *μεταλλάσσουσι γὰρ αἱ ψυχαὶ σῶμα ἐκ σώματος, ὑπὸ τοῦ Νείκους μεταβαλλόμεναι καὶ κολαζόμεναι, καὶ οὐκ ἐώμεναι μένειν εἰς τὸ ἕν, ἀλλὰ κολάζεσθαι ἐν πάσαις κολάσεσιν ὑπὸ τοῦ Νείκους* [*τὰς ψυχάς, μεταβαλλομένας σῶμα ἐκ σώματος,*]

Αἰθέριόν γε (φησί) μένος ψυχὰς πόντονδε διώκει·
πόντος δ' ἐς χθονὸς οὖδας ἀνέπλυσε, γαῖα δ' ἐς αὐγὰς
ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ' ἐξ ἄλλου δέχεται, σὶυγέουσι δὲ πάντες.

indutos omnes, per tempus, formas mortalium
laboriosas vitæ mutantes vias.

Laboriosas vias ait esse animarum in corpora transmigrationes et transmutationes. Illud est quod dicit :

laboriosas vitæ mutantes vias.

Mutant enim animæ corpus transeuntes ex corpore in corpus; eas Discordia transmutat et torquet et non sinit permanere in unitate. Sed eas Discordia castigatas subire omnes pœnas et transire ex corpore in corpus dicit Empedocles his verbis :

Namque animas ætherea vis adigit in pontum,
pontus in terræ solum exspuit, terra in flammas
solis splendidi, hic ætheris immittit vorticibus;
alius ex alio excipit, abhorrent vero omnes.

multorum effugeret (non multum enim præterfluerat tempus ex quo facinora Callistus patraverat), semperque conquerenti Carpophoro satisfaceret, jussit ut Antium peteret, certa ad victum pecuniæ summa in menses singulos adscripta. Post autem Victoris mortem, Zephyrinus Callistum sibi socium elegit ad res cleri gubernandas et proprio sui ipsius damno hoc honore eum affecit; Antio remeare jussit et ad cœmeterii custodiam apposuit. Callistus quum semper Zephyrino adesset, eique, ut jam ante dixi, subdole serviret, ita eum ad nihilum redegit, ut ea quæ dicebat non jam ponderaret senex neque consilia perspiceret Callisti, omnia ad oblectationem ipsius annuentis. Itaque post mortem Zephyrini, ratus sibi id contigisse quod aucupatus fuerat, Sabellium utpote a vera fide abhorrentem extrusit, revera formidans me, et sperans ita accusationem apud Ecclesias sese abstergere posse quasi non aliena sentiret. Fraudulentus homo iste erat scelerumque omnium artifex, et facto tempore plurimos decepit. Quum autem inclu-

1. *τὸν... ὄνειδον* cod. Miller. — 3-4. *ἐκτρόφῖς* cod. prima manus; *ἐκτροφάς* secunda manus. Miller. Bunsen.; *ἐκτροφῆς* Dunck. Lege *εἰς τροφάς*, *ἐκ* et *εἰς* confusis. — 4. *κύμεσιν* cod. — *σ..ἀράμενον* cod. duabus litteris exesis; *συναράμενον* Miller.; *συναράμενον... ἀρηγόν* socium Bunsen. — 5. Pro *κατάσταsιν* Wordsw. conj. *κατάσχεσιν*, et Saupp. *κατασταsίασιν*. De cœmeterio Callisti in via Appia, cf. Aringhi *Roma subterr.* III, c. XI; Ruggieri, p. 397; J. Spencer Northcote, *The Roman catacombs*, c. V. — 8. *ἐξεφάνισε* cod. Mill. Buns.; *ἐξηφάνισε* Rœp.

νον ἐν τῇ καρδίᾳ, καὶ εὐθέος μηδὲν Φρονῶν, ἅμα δὲ καὶ αἰδούμενος τὰ ἀληθῆ λέγειν, διὰ τὸ δημοσίᾳ ἡμῖν ὀνειδίζοντα εἰπεῖν· Δίθεοι ἐσλέ, ἀλλὰ καὶ διὰ τὸ ὑπὸ τοῦ Σαβελλίου συχνῶς κατηγορεῖσθαι ὡς παραβάντα τὴν πρώτην πίστιν, ἐφεῦρεν αἵρεσιν τοιάνδε, λέγων τὸν Λόγον αὐτὸν εἶναι Υἱόν, αὐτὸν καὶ Πατέρα, ὀνόματι μὲν καλούμενον, ἓν δὲ ὄντα Πνεῦμα ἀδιαίρετον· οὐκ ἄλλο εἶναι Πατέρα, ἄλλο δὲ Υἱόν, ἓν δὲ καὶ τὸ αὐτὸ ὑπάρχειν, καὶ τὰ πάντα γέμειν τοῦ Θείου Πνεύματος τά τε ἄνω καὶ κάτω, καὶ εἶναι τὸ ἐν τῇ Παρθένῳ σαρκωθὲν Πνεῦμα οὐχ ἕτερον παρὰ τὸν Πατέρα, ἀλλὰ ἓν καὶ τὸ αὐτό. Καὶ τοῦτο εἶναι τὸ εἰρημένον· «Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν «τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί;» Τὸ μὲν γὰρ βλεπόμενον, ὅπερ ἐσλὶν ἄνθρωπος, τοῦτο εἶναι τὸν Υἱόν, τὸ δὲ ἐν τῷ Υἱῷ χωρηθὲν Πνεῦμα τοῦτο εἶναι τὸν Πατέρα· οὐ γάρ, φησίν, ἐρῶ δύο Θεούς,

sum in corde virus gerens, nihil recte sentiens, et vera dicere reveritus, coram omnibus contumeliose nobis dixisset, Δίθεοι estis, atque etiam quum indesinenter Sabellius eum insequeretur tanquam priscam fidem violavisset, hanc hæresim novam excudit : Verbum scilicet esse ipsum Filium, eumdemque Patrem nuncupatum, unum autem esse Spiritum indivisum ; non aliud Patrem esse, aliud Filium, sed unum idemque esse ; omnia Spiritu divino in cœlo et in terris abundare, Spiritumque illum in utero Virginis incarnatum non alium esse ac Patrem, sed unum et idem esse. Illud enim significare quod dictum est : «Nonne credis quia sum in Patre et Pater in «me est?» Visibilem enim partem, quæ homo est, hanc esse Filium ; inclusum autem in Filio Spiritum Patrem esse : «Non enim, ait, dicam duos

1. *εὐθέως* cod. Miller. Bunsen. ; *εὐθέος* R. Scottus. Cum his conf. Orig. Lib. in Epist. ad Tit. : «Ne illos quidem sine pe«riculo esse Ecclesiæ sociari... qui super«stitiose magis quam religiose, uti ne vi«deantur duos deos dicere, neque rursum «negare Salvatoris deitatem, unam eam«demque subsistentiam Patris ac Filii as«severant, id est, duo quidem nomina «secundum diversitatem causarum reci«pientem, unam tamen *ὑπόστασιν* sub«sistere, id est, unam personam duobus «nominibus subjacentem, qui latine Pa«tripassiani appellantur.» — 4. *παραβάντος* cod. Mill. corr. Wordsw. *os* et *α* facillime confusis in codd. ut jam notavimus. — 6. Hic aliquid excidisse conj. Mill. *ἄλλο καλούμενον* susp. Wordsw. — *ὂν τὸ* cod. ; *ὄντα* Buns. Quæ sola sincera lectio est. — *οὐκ ἄλο* cod. — 7. *γεμεῖν* cod. — 10-11. Conf. Evang. sec. B. Joan. XIV, 11.

Πατέρα καὶ Υἱόν, ἀλλ' ἕνα. Ὁ γὰρ ἐν αὐτῷ γενόμενος Πατήρ, προσλαβόμενος τὴν σάρκα ἐθεοποίησεν ἑνώσας ἑαυτῷ, καὶ ἐποίησεν ἕν, ὡς καλεῖσθαι Πατέρα καὶ Υἱόν, ἕνα Θεόν, καὶ τοῦτο ἓν ὂν πρόσωπον μὴ δύνασθαι εἶναι δύο, καὶ οὕτως τὸν Πατέρα συμπεπονθέναι τῷ Υἱῷ· οὐ γὰρ θέλει λέγειν τὸν Πατέρα πεπονθέναι καὶ ἓν εἶναι πρόσωπον [οὕτω πως ἐλπίζων] ἐκφυγεῖν τὴν εἰς τὸν Πατέρα βλασφημίαν, ὁ ἀνόητος καὶ ποικίλος, (290) ὁ ἄνω κάτω σκεδάζων βλασφημίας, ἵνα μόνον [οὐ] κατὰ τῆς ἀληθείας λέγειν δοκῇ, ποτὲ μὲν εἰς τὸ Σαβελλίου δόγμα ἐμπίπλων, ποτὲ δὲ εἰς τὸ Θεοδότου οὐκ αἰδεῖται. Τοιαῦτα ὁ γόης τολμήσας, συνεστήσατο διδασκαλεῖον κατὰ τῆς Ἐκκλησίας οὕτως διδάξας, καὶ πρῶτος τὰ πρὸς τὰς ἡδονὰς τοῖς ἀνθρώποις συγχωρεῖν ἐπενόησε, λέγων πᾶσιν ὑπ' αὐτοῦ ἀφίεσθαι ἁμαρτίας. Ὁ γὰρ παρ' ἑτέρῳ τινὶ συναγόμενος καὶ λεγόμενος χριστιανὸς ὅ τι ἂν ἁμάρτῃ, φασίν, οὐ λογίζεται αὐτῷ ἡ ἁμαρτία, εἰ προσδράμοι τῇ τοῦ Καλλίστου σχολῇ· οὗ τῷ ὄρῳ ἀρεσκόμενοι πολλοὶ συνείδησιν πεπληγότες, ἅμα τε καὶ ὑπὸ πολλῶν αἱρέσεων ἀπο-

«esse deos, Patrem et Filium, sed unum dicam.» In Filio enim moratus Pater, susceptam a se carnem divinam effecit unamque, ita ut Pater Filiusque vocaretur unus Deus, qui, quum una persona sit, duplex esse non potest; et eo sensu dicitur Pater esse passus una cum Filio. Asseverare enim non audet passum esse Patrem cum Filio, unamque esse personam, eo modo sperans blasphemias in Patrem effugere; demens ille et sceleris artifex, blasphemias supra et infra dispergens, dummodo non videatur contra veritatem loqui, minime eum pudet in errores Sabellii modo, modo Theodoti incidere. Quum talia deceptor iste ausus esset, scholam instituit adversus Ecclesiam, ut ita docéret; hominumque pravis cupiditatibus indulgere primus molitus est, dicens a se peccata omnibus remitti. Quicumque enim christianus dictus, ab alio fuerat seductus, et scelus aliquod commiserat, non reddebat rationem de peccato, modo ad scholam Callisti confugisset. Cujus definitione gaudentes multi, conscientia cruciati, iidemque ab hæ-

4. συνπεπονθέναι cod. — 6. Uncis inclusa supplevit Bunsenius, quæ forsan delenda sunt, et legendum ἐκφυγών. — 7. σχεδιάζων cod. Mill.; σκεδάζων R. Scott. Buns. — 8. [οὐ] restitui. — 12. συγχαρεῖν cod. — 14. εἴ τι cod.; Mill. conj. ὅ τι.

ἐληθέντες, τινὲς δὲ καὶ ἐπὶ καταγνώσει ἔκβλητοι τῆς Ἐκκλησίας ὑφ' ἡμῶν γενόμενοι, προσχωρήσαντες αὐτοῖς, ἐπλήθυναν τὸ διδασκαλεῖον αὐτοῦ. Οὗτος ἐδογμάτισεν ὅπως εἰ ἐπίσκοπος ἁμάρτοι τι, εἰ καὶ πρὸς θάνατον, μὴ δεῖν κατατίθεσθαι. Ἐπὶ τούτου ἤρξαντο ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι δίγαμοι καὶ τρίγαμοι καθίσλασθαι εἰς κλήρους. Εἰ δὲ καί τις ἐν κλήρῳ ὢν γαμοίη, μένειν τὸν τοιοῦτον ἐν τῷ κλήρῳ ὡς μὴ ἡμαρτηκότα· ἐπὶ τούτῳ φάσκων εἰρῆσθαι τὸ ὑπὸ τοῦ ἀποσ'όλου ῥηθέν, «Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον «οἰκέτην;» Ἀλλὰ καὶ παραβολὴν τῶν ζιζανίων πρὸς τοῦτο ἔφη λέγεσθαι· «Ἄφετε τὰ ζιζάνια συναύξειν τῷ σίτῳ,» τουτέσ'ιν ἐν τῇ Ἐκκλησίᾳ τοὺς ἁμαρτάνοντας. Ἀλλὰ καὶ τὴν κιβωτὸν τοῦ Νῶε εἰς ὁμοίωμα Ἐκκλησίας ἔφη γεγονέναι, ἐν ᾗ καὶ κύνες καὶ λύκοι καὶ κόρακες, καὶ πάντα τὰ καθαρὰ καὶ ἀκάθαρτα· οὕτω φάσκων δεῖν εἶναι ἐν Ἐκκλησίᾳ ὁμοίως· καὶ ὅσα [201] πρὸς τοῦτο δυνατὸς ἦν συνάγειν οὕτως ἡρμήνευσεν· οὗ οἱ ἀκροαταὶ ἡσθέντες τοῖς δόγμασι διαμένουσιν ἐμπαίζοντες ἑαυτοῖς τε καὶ πολλοῖς, ὧν τῷ διδασκαλείῳ

resibus repudiati, imo nonnulli Ecclesia a nobis facto judicio ejecti, accedentes discipulis ejus, scholam illius compleverunt. Inter credenda iste constituit non deponendum episcopum esse quum peccaverit, vel si capitale flagitium admiserit. Vigente eo, episcopi sacerdotesque et diaconi, post duas tresve nuptias, inter clericos locum obtinere cœperunt. Quin etiam, si quis ex clericis uxorem duceret, in ordine manere eum jubebat, quasi flagitii nihil admisisset. Quo referendum aiebat apostoli verbum : «Tu quis es qui «judices servum alienum?» Atque etiam lolii parabolam, «Sinite zizania «crescere cum tritico,» id est, sinite peccatores in Ecclesia manere. Dicebat etiam Ecclesiæ instar arcam Noe fuisse, qua canes, lupi, corvi, aliaque omnia pura et impura animantia comprehendebantur; oportere autem item esse de Ecclesia. Quæcumque demum valebat ad hoc docendum congerere, eo modo interpretabatur; auditoresque placitis illius allecti, etiam nunc illa tenent, semetipsos illudentes aliosque plurimos quorum turbæ ad ejus scho-

1. ἔκκλητοι cod. — 6. ὢν γνώμη cod. — 8-9. Conf. B. Pauli ad Rom. XIV, 4. — 9. πρὸς τούτῳ cod. Bunsen.; πρὸς τοῦτο Mill. — 10. Cf. Evang. sec. Matth. XIII, 29. — 16. ἐμπέζοντες cod. – διδασκαλείων cod.

συῤῥέουσιν ὄχλοι. Διὸ καὶ πληθύνονται, γαυριώμενοι ἐπὶ ὄχλοις διὰ τὰς ἡδονὰς, ἃς οὐ συνεχώρησεν ὁ Χριστός· οὗ καταφρονήσαντες οὐδένα ἁμαρτεῖν κωλύουσι, φάσκοντες αὐτοὶ ἀφιέναι τοῖς εὐδοκοῦσι· καὶ γὰρ καὶ γυναιξὶν ἐπέτρεψεν, εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ τινὸς καίοιντο ἀναξίου τῆς ἑαυτῶν ἀξίας ἣν μὴ βούλοιντο καθαιρεῖν διὰ τοῦτο, νομίμως γαμηθῆναι ἔχειν ἕνι ὃν ἂν αἱρήσωνται σύγκοιτον, εἴτε οἰκέτην, εἴτε ἐλεύθερον, καὶ τοῦτον κρίνειν ἀντὶ ἀνδρὸς μὴ νόμῳ γεγαμημένην. Ἔνθεν ἤρξαντο ἐπιχειρεῖν πισταὶ λεγόμεναι ἀτοκίοις φαρμάκοις καὶ τῷ περιδεσμεῖσθαι πρὸς τὸ τὰ συλλαμβανόμενα καταβάλλειν, διὰ τὸ μήτε ἐκ δούλου βούλεσθαι ἔχειν τέκνον μήτε ἐξ εὐτελοῦς, διὰ τὴν συγγένειαν καὶ ὑπέρογκον οὐσίαν. Ὁρᾶτε εἰς ὅσην ἀσέβειαν ἐχώρησεν ὁ ἄνομος μοιχείαν καὶ φόνον ἐν τῷ

lam certatim currunt. Itaque crescunt et numero gloriantur voluptatibus aucto quibus Christus interdixerat. Quem ipsum contemnentes neminem a peccato prohibent, dicentes posse seipsos peccata remittere bene credentibus. Quin etiam feminis concessit, si quæ innuptæ erant, et flore juvenis ardescebant ipsarum loco indigni et dignitate quam pessumdare nolebant, idcirco, inquam, concessit licitum esse ut nuberent uni illi quem maritum optaverint, seu mancipium esset, seu liber, et eumdem pro vero marito habere cui vel invita lege nupserint. Exinde cœperunt mulieres fideles nuncupatæ uti medicamentis partum impedientibus et fasciis ut conceptum fœtum ejicerent, quum nollent vel ex servo, vel ex humilis loci viro, ob suos propinquos et immensas fortunas, genitum fructum parturire. Videtis in quantam impietatem vir iste nequam processerit, mœchiam una cum cæde edo-

3. *οὐδένα* Buns.; *οὐδὲν* cod. Miller. — *αὐτῷ* cod.; *αὐτὸν* Miller.; *αὐτοὺς* Bunsen. — 4 sqq. *εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ τε τε καίοντα ἐναξία ἡ ἑαυτῶν ἀξίαν ἣν μὴ βούλοιντο καθαίρειν. Διὰ τοῦτο νομίμως γαμηθῆναι ἔχει ἕνα* cod. quæ corrigere plures tentaverunt. Legi ut Rœperus. Millerus autem conjecit : *ἐπέτρεψεν* (*ἁμαρτεῖν*)... *ἡλικίᾳ καίοιντο αἱ ἐν ἀξίᾳ, τὴν ἑαυτῶν ἣν* (sive *εἰ*) *κ. τ. λ.* Bunsenius legit : *καὶ ἡλικίᾳ γε ἐκκαίοιντο* (*ἀνάξιαι αἱ ἑαυτῶν ἀξίαν μὴ βούλοιντο καθαιρεῖν*), *διὰ... ἐνὶ κ. τ. λ.* Wordsworthius autem : *καὶ ἡλικιώτῃ καίοιντο ἀναξίῳ, ἣ ἑαυτῶν ἀξίαν μὴ βούλοιντο καθαιρεῖν, διὰ τοῦτο νομίμως ἐκείνῳ ὃ κ. τ. λ.* Doellingerus in libro *Hippol. und Kallistus : καὶ ἡλικίᾳ καίονται* (vel *καίοιντο*), *ἀναξία, τὴν ἑαυτῶν ἀξίαν ἣν μὴ βούλοιντο καθαίρειν. Διὰ τοῦτο κ. τ. λ.* — 8. *ἤρξατο* cod. — 9. *ἀτοκίᾳ περιδεσμεῖσθαι καὶ φαρμάκοις* cod. Miller.; *ἀτοκίοις φαρμάκοις καὶ τῷ περιδεσμεῖσθαι* Bunsen.; *ἐπ' ἀτοκίᾳ περιδεσμεῖσθαι καὶ φαρμακεύεσθαι* Rœper.

αὐτῷ διδάσκων! Καὶ ἐπὶ τούτοις τοῖς τολμήμασιν ἑαυτοὺς οἱ ἀπηρυθριασμένοι καθολικὴν Ἐκκλησίαν ἀποκαλεῖν ἐπιχειροῦσι, καί τινες νομίζοντες εὖ πράττειν συντρέχουσιν αὐτοῖς. Ἐπὶ τούτου πρώτως τετόλμηται δεύτερον αὐτοῖς βάπτισμα. Ταῦτα μὲν οὖν ὁ Θαυμασιώτατος Κάλλιστος συνεστήσατο, οὗ διαμένει τὸ διδασκαλεῖον φυλάσσον τὰ ἔθη καὶ τὴν παράδοσιν, μὴ διακρῖνον τίσι δεῖ κοινωνεῖν, πᾶσιν ἀκρίτως προσφέρων τὴν κοινωνίαν· ἀφ' οὗ καὶ τὴν τοῦ ὀνόματος μετέσχον ἐπίκλησιν καλεῖσθαι [292] διὰ τὸν πρωτοστατήσαντα τῶν τοιούτων ἔργων Κάλλιστον, Καλλιστιανοί.

γ'. Περὶ Ἐλκεσαίων.

13. Τούτου κατὰ πάντα τὸν κόσμον διηχηθείσης τῆς διδασκαλίας, ἐνιδὼν τὴν πραγματείαν ἀνὴρ δόλιος καὶ ἀπονοίας γέμων,

cens! Post tales ausus, semetipsos impudentes catholicam Ecclesiam nuncupare aggrediuntur, et nonnulli credentes recte facere illos subsequuntur. Eo quoque pontifice sunt primum ausi secundo baptismate baptizare. Talia peregit admirabilis iste Callistus, cujus perstat schola, mores magistri servans et tradita omnia, neque discernens quibuscum sit communicandum, at cunctis temere offerens communionem. Ab isto quoque cognomen sectatores mutuati sunt, et de primo talium facinorum auctore Callisto, Callistiani vocati sunt.

III. DE ELCHASAITIS.

13. Hujus doctrina quum per universum orbem sparsa esset, rem actam inspiciens vir vaferrimus et impudentia affluens, nomine Alcibiades, Apa-

1. τολμήσασιν cod. — 1-2. ἀπερυθριασμένοι cod. Conf. Tertull. *De Pudicitia*, c. 1. Pontifex Maximus, episcopus episcoporum, dicit: «Ego et mœchiæ et «fornicationis delicta pœnitentia functis «dimitto.» — 3. τούτοις Rœper. pro αὐτοῖς. — 4. τετόλμηται] litteræ ὁλμ exesæ in cod. Mill. – βάπτησμα cod. — 7. Mill. conj. πᾶσι δ' ἀκρίτως. — Cap. III, tit. De Elcesæis lege et cum nostro conf. Euseb. *Hist. eccl.* lib. VI, c. XXXVIII; B. Epiphan. *Hær.* XIX; Theod. *Hær. fab.* II, c. VII, et quæ de hoc loco erudite disquisivit D. Chwolsohn in libro *Die Ssabier und der Ssabismus*, Band I, p. 114-116; conf. etiam A. Ritschl, in *Zeitschrift für die historische Theologie*, herausgegeben von Dr Christ. Wilh. Niedner. Jahrgang 1853, Heft 4, p. 573 sqq., et *Historiam Romanæ Ecclesiæ sub SS. PP. Victore, Zephyrino et Callisto*, quam edidi, Parisiis, an. 1858, p. 103-105.

Ἀλκιβιάδης τις καλούμενος, οἰκῶν ἐν Ἀπαμείᾳ τῆς Συρίας, γοργότερον ἑαυτὸν καὶ εὐφυέστερον ἐν κυβείαις κρίνας τοῦ Καλλίστου, ἐπῆλθε τῇ Ῥώμῃ φέρων βίβλον τινά, φάσκων ταύτην ἀπὸ Σηρῶν τῆς Παρθίας ϖαρειληφέναι τινὰ ἄνδρα δίκαιον Ἠλχασαΐ, ἣν ϖαρέδωκε τινὶ λεγομένῳ Σοβιαΐ χρηματισθεῖσαν ὑπὸ ἀγγέλου, οὗ τὸ ὕψος σχοίνων κδ ὃ γίνεται μίλια ζς· τὸ δὲ ϖλάτος αὐτοῦ σχοίνων δ, καὶ ἀπὸ ὤμου εἰς ὦμον σχοίνων ς· τὰ δὲ ἴχνη τῶν ϖοδῶν αὐτοῦ ἐπὶ μῆκος σχοίνων γ ἡμίσους· ἃ γίνεται μίλια δεκατέσσαρα· τὸ δὲ ϖλάτος σχοίνου ἑνὸς ἡμίσους, τὸ δὲ ὕψος ἡμισχοινίου. Εἶναι δὲ σὺν αὐτῷ καὶ Ϟηλειαν, ἧς τὰ μέτρα κατὰ τὰ ϖροειρημένα εἶναι λέγει· καὶ τὸν μὲν ἄρσενα Υἱὸν εἶναι τοῦ Θεοῦ, τὴν δὲ Ϟηλειαν καλεῖσθαι Ἅγιον Πνεῦμα. Ταῦτα τερατολογῶν, νομίζει ταράσσειν τοὺς μωρούς, λέγων λόγον τοῦτον· εὐηγγελίσθαι τοῖς ἀνθρώποις καινὴν ἄφεσιν ἁμαρτιῶν, ἐπὶ Τραϊανοῦ βασιλείας τρίτῳ· καὶ βάπτισμα ὁρίζει, ὃ καὶ αὐτὸ διηγήσομαι, φάσκων τοὺς ἐν ϖάσῃ

meæ in urbe Syriæ habitans, quum Callisto ipso subtiliorem se et ad verborum præstigias aptiorem existimaret, Romam devenit, quemdam librum afferens; dicebat autem eum a Seribus de Parthica regione allatum a sapiente viro, Elchasai nomine, eumdemque Sobiæ cuidam transmissum ab angelo revelatum fuisse. Angelus autem ille altus erat viginti quatuor schœnos, quod efficit viginti quatuor milliaria; latitudo autem ejus quatuor; sex denique ab humero ad humerum schœni erant. Vestigia autem pedum illius in longitudinem trium schœnorum et dimidii, quæ efficiunt milliaria quatuordecim; latitudo vero unius schœni et dimidii et altitudo dimidiati schœni. Erat cum eo femina cujus mensura corporis mensuræ illius apte congruebat; mas quidem Filius Dei erat, femina autem vocabatur Spiritus Sanctus. Portentosa illa temere effutiens, videbatur sibi ignaris fucum facere : affirmabat enim Elchasai hominibus novam peccatorum remissionem revelavisse, tertium annum Trajano imperante, et baptismum præscripsisse, de quo ipso mox loquar. Dicebat igitur homines omni libidine, corruptioneque et

1. Ἀλκηβιάδης cod. — 3. ἀποσηρῶν cod. — 4. Ἠλχασαΐ, de hoc nomine cf. Chwolsohn l. l. — 6. σχοινίων cod. Mill. Buns.; σχοίνων Rœp. — 9. ἡμισχοίνου cod. Mill. Buns. corr. Rœper. — 13. λέγων, λέγων cod.; λέγων Mill. Bunsen.; λέγων λόγον R. Scott. — 15. αὐτῷ cod. corr. Mill.

ἀσελγείᾳ καὶ μιασμῷ καὶ ἀνομήμασιν ἐμφυρέντας, εἴ τις πιστὸς εἴη, ἐπιστρέψαντα καὶ τῆς βίβλου κατακούσαντα καὶ πιστεύσαντα, ὁρίζει βαπτίσματι λαμβάνειν ἄφεσιν ἁμαρτιῶν. Ταῦτα δὲ ἐτόλμησε τεχνάσαι τὰ πανουργήματα ἀπὸ τοῦ προειρημένου δόγματος ἀφορμὴν λαβών, οὗ παρεστήσατο Κάλλιστος. Ἰδομένους[293] γὰρ κατανοήσας πολλοὺς ἐπὶ τοιαύτῃ ἐπαγγελίᾳ εὐκαίρως ἐνόμισεν ἐπιχειρεῖν. Καὶ τούτῳ δὲ ἡμεῖς ἀντιστάντες, οὐκ εἰάσαμεν ἐπιπολὺ πλανηθῆναι πολλούς, ἐλέγξαντες εἶναι τοῦτο πνεύματος νόθου ἐνέργειαν καὶ ἐπίνοιαν πεφυσιωμένης καρδίας· καὶ τοῦτον λύκου δίκην ἐπεγηγερμένον πλανωμένοις προβάτοις πολλοῖς [ἀ] ἀποπλανῶν διεσκόρπισεν ὁ Κάλλιστος. Ἀλλ' ἐπεὶ ἠρξάμεθα, καὶ τὰ τούτου δόγματα οὐ σιωπήσομεν· εἰς φανερόν τε ἀγαγόντες πρότερον τὸν βίον, καὶ δείξαντες τὴν νομιζομένην ἄσκησιν προσποιητὴν ὑπάρχουσαν, αὖθις καὶ τῶν ῥητῶν κεφάλαια παραθήσομαι, ἵνα τοῖς αὐτοῦ ἐγγρά-

nequitia inquinatos, si modo quis sit fidelis, hominem animum attendentem et audito libro credentem, per hoc baptisma peccatorum remissionem accepturum. Hæc ausus est patrare facinora, initium capiens a supradictis doctrinis quas Callistus prius conflaverat. Allectos enim evangelio tali plurimos quum animadverteret, speravit se feliciter conatus effecturum. Nos autem adversus istum restitimus, nec amplius errare multos sivimus, eosque certiores fecimus illud spurii dæmonis opus esse et tumentis superbia cordis inventum, hominemque istum more lupi irruisse in vagantes oves quas aberrans Callistus disperserat. At quandoquidem de homine isto dicere incepimus, ejus dogmata silentio non præteribimus, sed in lucem proferemus ejus vitam et postquam eum simulationis in cultu et ratione vitæ arguerimus,

1. ἀσεγείᾳ cod. – Vocis πιστὸς litteræ στο exesæ in cod. Mill. qui addit τις; εἴ τις πιστὸς εἴη Saupp.; ὡς πιστοὺς εἶναι, καὶ Bunsen. — 2. ἐπιστέψαντα cod. corr. Mill.; ἐπιστρέψαντας..... κατακούσαντας ..... πιστεύσαντας Ritschl. l. l. – ἀκούσαντα Buns. — 3. ἄφεσιν bis in cod. — 5. παρεστήσατο cod. Miller.; προεστήσατο Bunsen. qui non vidit genitivum οὗ ob attractionem hic sinceram esse lectionem. — 6. ἐνόμησεν cod. — 7-8. Pro πλανηθῆναι Wordsw. conjic. πλατυνθῆναι, id est *late diffundi*; at male; non dici potest πλατυνθῆναι πολλούς. — 8. ἐλλέγξαντες cod. — 10. [ἀ] addidit Mill. delet Buns. — 12. φανερὸν τί cod. corr. Miller.; φανερὸν δὲ Sauppius. — 13. δείξαντες καὶ cod. Buns. corr. Mill.

φοις ὁ ἐντυγχάνων ἐνατενίσας ἐπιγνοίη τίς καὶ ὁποία εἴη ἡ τούτῳ τετολμημένη αἵρεσις.

14. Οὗτος νόμου πολιτείαν προβάλλεται δελεάσματος δίκην, φάσκων δεῖν περιτέμνεσθαι καὶ κατὰ νόμον ζῆν τοὺς πεπισ|ευκότας, ἀποσπῶν τινὰ τῶν προειρημένων αἱρέσεων. Τὸν Χρισ|ὸν δὲ λέγει ἄνθρωπον κοινῶς πᾶσι γεγονέναι· τοῦτον δὲ οὐ νῦν πρώτως ἐκ παρθένου γεγεννῆσθαι, ἀλλὰ καὶ πρότερον, καὶ αὖθις πολλάκις γενηθέντα καὶ γεννώμενον, πεφηνέναι καὶ φύεσθαι, ἀλλάσσοντα γενέσεις καὶ μετενσωματούμενον, ἐκείνῳ τῷ Πυθαγορείῳ δόγματι χρώμενος· τοσοῦτον δὲ πεφυσίωνται, ὡς καὶ προγνωσ|ικοὺς ἑαυτοὺς λέγειν, δηλονότι μέτροις καὶ ἀριθμοῖς τῆς προειρημένης Πυθαγορείου τέχνης ἀφορμαῖς χρωμένους. Οὗτοι καὶ μαθηματικοῖς καὶ ἀσ|ρολογικοῖς καὶ μαγικοῖς προσέχουσιν ὡς ἀληθέσι, καὶ τούτοις χρώμενοι παράσσουσι τοὺς ἄφρονας, [ὡς] νομίζειν αὐτοὺς λόγου δυνατοῦ μετέχειν· ἐπαοιδάς τε καὶ [294] ἐπιλόγους τινὰς διδάσκουσι πρός τε κυνοδήκτους καὶ δαιμονιῶντας καὶ ἑτέραις νόσοις κατεχο-

rursus præcipua ejus verba exponemus, ut lector cognoscat quæ et qualis sit hæresis quam conflare ausus est.

14. Judæorum legi congruam rationem vitæ posuit, ut discipulos allicere t, dictitans necesse esse fideles circumcidantur et secundum legem vivant, nonnulla quidem mutuatus ex hæresibus de quibus supra diximus, Christum autem ait natum esse eodem modo quo omnes homines. Sed Pythagorica illa doctrina usus, illum affirmat non nunc primum ex Virgine natum, sed prius et sæpissime genitum et nascentem apparuisse et exstare permutantem generationes et migrantem ex corpore in corpus. Tanta superbia extolluntur, ut sese futuri præscios dicant; quapropter mensuras et numeros usurpant, Pythagoricæ disciplinæ institutis usi. Iidem dogmatibus mathematicis et astrologicis et magicis sese addicunt quasi veræ doctrinæ, quibus artibus insipientium mentem ita turbant, ut illis videantur rationis præpotentis esse participes. Incantationes etiam et formulas quasdam docent in eorum usum qui a cane morsi sunt, vel a dæmone vexantur, vel aliis morbis laborant.

7. γεγενῆσθαι cod. — 11. δῆλον cod.; δηλονότι Mill. — 12. ἀφορμὰς cod. corr. Mill. — 14. [ὡς] add. Mill.

μένους, ὧν οὐδὲ ταῦτα σιωπήσομεν. Ἱκανῶς οὖν τὰς ἀρχὰς αὐτῶν διηγησάμενος τάς τε αἰτίας τῶν τολμημάτων, παρελεύσομαι ἐπιδιηγησάμενος τὰ ἔγγραφα, δι' ὧν εἴσονται οἱ ἐντυγχάνοντες τόν τε λῆρον καὶ τὰ ἄθεα αὐτῶν ἐπιχειρήματα.

15. Τὸ μὲν οὖν βάπτισμα τοῖς ἀπ' αὐτ[οῦ κατηχουμ]ένοις, οὕτως παραδίδωσι, τοιάδε λέγων τοῖς ἀπατωμένοις. Εἴ τις οὖν τέκνῳ ἐπλησίασεν, ἢ οἰῳδήποτε ζῴῳ, ἢ ἄρρενι, ἢ ἀδελφῇ, ἢ θυγατρί, ἢ ἐμοίχευσεν ἢ ἐπόρνευσε, καὶ θέλει ἄφεσιν λαβεῖν τῶν ἁμαρτιῶν, ἀφ' οὗ ἂν ἀκούσῃ τῆς βίβλου ταύτης, βαπτισάσθω ἐκ δευτέρου ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου Θεοῦ, καὶ ἐν ὀνόματι υἱοῦ αὐτοῦ μεγάλου βασιλέως, [καὶ] καθαρισάτω καὶ ἁγνευσάτω καὶ ἐπιμαρτυρησάσθω αὐτῷ τοὺς ἑπτὰ μάρτυρας γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ, τὸν οὐρανὸν καὶ τὸ ὕδωρ, καὶ τὰ πνεύματα τὰ ἅγια, καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς, καὶ τὸ ἔλαιον, καὶ τὸ ἅλας, καὶ τὴν γῆν. (Ταῦτα τὰ θαυμάσια μυστήρια τοῦ Ἠλχασαὶ τὰ ἀπόῤῥητα καὶ μεγάλα, ἃ

quas quidem non silebimus. Sufficienter igitur initiis eorum expositis et causis audacium incœptorum, ulterius progrediar postquam dixero quæ scripta sunt ab iis, quo lectores nostri ineptias et impia eorum incœpta cognoscant.

15. Baptisma discipulis quos [Alcibiades] informat hoc modo confert, deceptis dicens hæc verba : Si quis ad pueros appropinquaverit, vel cum quolibet animali, vel cum masculo, vel sorore, vel filiæ, vel mœchatus aut scortatus fuerit et remissionem peccatorum velit accipere, statim ac hunc librum legerit, baptizetur denuo in nomine magni et summi Dei et in nomine filii ejus magni regis, mundetur, et castus efficiatur et vocet testes septem qui scripti sunt in hoc libro, cœlum et aquam et spiritus sanctos et angelos precationis et oleum et sal et terram. (Hæc sunt mirabilia mysteria Elchasai

2-3. *ἐπιδιηγησόμενος* Dunckerus. — 5. Uncis inclusa supplevi. R. Scottus legit *ὑπ' αὐτοῦ ἀπαγομένοις*. — 6-7. *τέκνα* cod.; *τεκνίῳ* Mill.; *τέκνῳ* Rœp.; R. Scott. legit : *εἴ τις οὖν, τέκνα, ἐπλησίασεν οἰῳδήποτε. – πλησιάσει* cod. Mill.; *ἐπλησίασεν* Rœp. — 8-9. *ἀφ' ἧς* cod. Mill.; *ἀφ' οὗ* Rœper. R. Scott. — 11. [*καὶ*] addidit Dunck. — 12 sqq. Cum his cf. B. Epiph. *Hær.* XIX, 1, et doctissimi Reuvensii litteras ad Letronnium scriptas in quibus magicas affert quasdam formulas quæ ab Elchasaitis fuerant usurpatæ. (*Lettres sur les papyrus bilingues et grecs*, p. 25.)

παραδίδωσι τοῖς ἀξίοις μαθηταῖς.) Οἷς οὐκ ἀρκεῖται ὁ ἄνομος, ἀλλ' ἐπὶ δύο καὶ τριῶν μαρτύρων ἐνσφραγίζει τὰ ἑαυτοῦ κακά, πάλιν οὕτως λέγων· Πάλιν λέγω, ὦ μοιχοὶ καὶ μοιχαλίδες καὶ ψευδοπροφῆται, ἐὰν θέλητε ἐπιστρέψαι ἵνα ἀφεθήσωνται ὑμῖν αἱ ἁμαρτίαι, καὶ ὑμῖν εἰρήνη καὶ μέρος μετὰ τῶν δικαίων, ἀφ' οὗ ἂν ἀκούσητε τῆς βίβλου ταύτης καὶ βαπτισθῆτε ἐκ δευτέρου σὺν τοῖς ἐνδύμασιν. Ἀλλ' ἐπεὶ ἐπαοιδαῖς τούτους εἴπομεν χρῆσθαι ἐπί τε κυνοδήκτων καὶ ἑτέρων, δείξομεν. Λέγει δὲ οὕτως. Ἂν τιν' ἄνδρα ἢ γυναῖκα ἢ νεώτερον [295] ἢ νεωτέραν κύων λυσσῶν καὶ μαινόμενος, ἐν ᾧ ἐστι πνεῦμα διαφθορᾶς, δάκῃ ἢ περισχίσῃ ἢ προσψαύσῃ, ἐν αὐτῇ τῇ ὥρᾳ δραμέτω σὺν παντὶ τῷ φορέματι, καὶ καταβὰς εἰς ποταμὸν ἢ εἰς πηγὴν ὅπου ἐὰν ᾖ τόπος βαθύς, βαπτισάσθω [σὺν] παντὶ τῷ φορέματι αὐτοῦ καὶ προσδεξάσθω τῷ μεγάλῳ καὶ ὑψίστῳ Θεῷ ἐν καρδίας πίστει, καὶ τότε ἐπιμαρτυρησάσθω τοὺς ἑπτὰ μάρτυρας τοὺς γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ. Ἰδοὺ μαρτύρομαι τὸν οὐρανὸν καὶ

ineffabilia quidem et magna quæ tradunt bene merentibus discipulis.) Quæ non sufficiunt homini iniquo; sed rursus coram duobus vel tribus testibus obsignat sua peccata, hæc verba repetens: Iterum dico, mœchi et mœchæ et pseudoprophetæ, quod si velitis converti ut remittantur vobis peccata, et vobis pax detur ac portio cum justis, statim atque audiveritis verba hujusce libri baptizemini denuo cum vestimentis. At quandoquidem diximus hæreticos istos uti incantationibus ad medendum eis qui morsi sunt a cane et cæteris morbis, eas exponemus. Sic autem affatur Elchasai discipulus: Si quem hominem vel mulierem vel adolescentem vel adolescentulam canis rabidus et furens, cui spiritus destructionis inest, momorderit vel diciderit vel attigerit, hac ipsa hora qui læsus est currat cum omnibus vestimentis suis et immersus in fluvium vel in fontem, ubi aqua alta est, baptizetur cum omnibus vestimentis suis et sese præstet magno et summo Deo in fide cordis sui et testetur testes septem qui inscripti sunt in hoc libro:

6. Pro ἐνδύμασιν Ritschl conjicit λύμασιν. — 8. Ἂν τινῶν cod.; ἄν τιν' ἄνδρα susp. Miller.; ὄντιν' οὖν R. Scott. — 10. Cod. habet περι...ίσῃ cum parvo ductu qui videtur ultima pars litteræ χ. Miller.; περισχάσῃ Rœp. — 12. [σὺν] omiss. in cod. Conf. p. seq. l. 5. Adde σὺν. — 13. προσδεξάσθω cod. Lege προσδειξάσθω; Mill. et Dunck. habent προσευξάσθω. — 14. ἐπιμαρτυρήσθω cod.

τὸ ὕδωρ, καὶ τὰ πνεύματα τὰ ἅγια, καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς, καὶ τὸ ἔλαιον, καὶ τὸ ἅλας, καὶ τὴν γῆν. Τούτους τοὺς ἑπτὰ μάρτυρας μαρτύρομαι ὅτι οὐκέτι ἁμαρτήσω, οὐ μοιχεύσω, οὐ κλέψω, οὐκ ἀδικήσω, οὐ πλεονεκτήσω, οὐ μισήσω, οὐκ ἀθετήσω, οὐδὲ ἐν πᾶσι πονηροῖς εὐδοκήσω. Ταῦτα οὖν εἰπὼν βαπτισάσθω σὺν παντὶ τῷ φορέματι αὐτοῦ, ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου Θεοῦ.

16. Ἕτερα δὲ πλεῖστα φλυαρεῖ, ταὐτὰ καὶ ἐπὶ φθισικοῖς ἐπιλέγειν διδάσκων, καὶ βαπτίζεσθαι ἐν ψυχρῷ, τεσσαρακοντάκις ἐπὶ ἡμέρας ἑπτά· ὁμοίως καὶ πρὸς δαιμονῶντας. Ὦ σοφίας ἀμιμήτου καὶ ἐπαοιδῶν δυνάμεων μεμεστωμένων! Τίς οὐκ ἐκπλαγήσεται τῇ τοιαύτῃ καὶ τοσαύτῃ δυνάμει τῶν λόγων; Ἀλλ' ἐπειδὴ καὶ ἀστρολογικῇ πλάνῃ κεχρῆσθαι αὐτοὺς ἔφημεν, ἐξ αὐτῶν δείξομεν· φησὶ γὰρ οὕτως· εἰσὶν ἀστέρες πονηροὶ τῆς ἀσεβείας. Τοῦτο νῦν ὑμῖν εἴρηται, εὐσεβεῖς καὶ μαθηταί, φυλάσσεσθε ἀπὸ τῶν ἡμερῶν τῆς

ecce testor cœlum et aquam, et sanctos spiritus, et angelos precationis, et oleum, et sal, et terram. Hos septem testes testor quod deinceps non sim peccaturus, nec mœchaturus, nec furaturus, nec injuriam illaturus nec nimia appetiturus nec odio quemquam prosecuturus, nec fœdera perfide fracturus, nec in ullo malo mihi sim placiturus. Hæc locutus baptizetur cum omnibus vestimentis suis in nomine magni et summi Dei.

16. Plura alia et inepta effutit et eos qui phthisi laborant docet recitare ea et baptizari in frigida aqua quadragies per septem dies, similiter et eos qui dæmone vexantur. O sapientiam inimitabilem et carmina præpotentia! quis non miretur talem et tantam verborum virtutem! At quum dixerimus etiam astrologicis erroribus eos adhærere, ex ipsis ostendemus. Sic enim loquitur : Sunt astra mala impietatis. Hoc nunc vobis dictum est, vos pii

1. In cod. voc. *πνεύματα* lacuna absorptum. Mill. — 6. *Φερέματι* cod. Supra bis legitur *Φορέματι* quod, quum ducitur ex *Φορέω*, corruptum videtur esse et legendum *Φορήματι*. Sic *Φίλημα* ex *Φιλέω* et cætera eodem modo deducta. At, quum hæc vox *Φορέμα* et ipsa serius in usum venerit, non correxi. — 8. *ταὐτὰ* Rœper.; *ταῦτα* cod. Millerus. – *Φθητικοῖς* cod. — 10. *ἐπὶ δαιμονῶντας* cod.; *δαιμονῶσι* conjicit Millerus vel delendum *ἐπὶ*; *πρὸς δαιμονῶντας* Rœperus; *ἔτι* pro *ἐπὶ* Dunckerus. — 11. *δυνάμεως* conjicit Millerus. — 13. *ἐξ αὐτῶν* cod. Millerus; *ἑαυτῆς* Rœperus. — 14. *ἡμῖν* cod. correxit Millerus. — 15 et p. 453, l. 1. *ἀπὸ τῆς*

ἐξουσίας αὐτῶν [296] καὶ μὴ ποιεῖτε τὴν καταρχὴν τῶν ἔργων ἐν ταῖς ἡμέραις αὐτῶν, καὶ μὴ βαπτίζετε ἄνδρα ἢ γυναῖκα ἐν ταῖς ἡμέραις τῆς ἐξουσίας αὐτῶν, ὁπόταν διαπορεύηται ἐξ αὐτῶν ἡ σελήνη καὶ συνοδεύῃ αὐτοῖς. Αὐτὴν τὴν ἡμέραν φυλάσσεσθε ἕως οὗ ἐκπορεύεται ἀπ' αὐτῶν, καὶ τότε βαπτίζετε καὶ ἐνάρχεσθε ἐν πάσῃ ἀρχῇ τῶν ἔργων ὑμῶν. Ἔτι δὲ τιμήσατε τὴν ἡμέραν τοῦ σαββάτου, ἐπειδὴ ἔστιν ἡμέρα μία ἐξ αὐτῶν. Ἀλλὰ καὶ τὴν τρίτην σαββάτου φυλάσσεσθε μὴ κατάρχεσθαι, ἐπειδὴ πάλιν πληρουμένων τριῶν ἐτῶν Τραιανοῦ Καίσαρος, ἀφότε ὑπέταξεν ἑαυτοῦ τῇ ἐξουσίᾳ τοὺς Πάρθους, ὅτε ἐπληρώθη τρία ἔτη, ἀγρίζεται ὁ πόλεμος μεταξὺ τῶν ἀγγέλων τῆς ἀσεβείας τῶν Ἄρκτων, διὰ τοῦτο ταράσσονται πᾶσαι βασιλεῖαι τῆς ἀσεβείας.

17. Ταῦτα τοίνυν τὰ μεγάλα καὶ ἀπόῤῥητα μυστήρια ἄλογον ἡγούμενος καταπατεῖσθαι ἢ εἰς πολλοὺς παραδίδοσθαι, συμβου-

et discipuli, cavete a diebus quibus hæc astra dominantur neve faciatis initium operum vestrorum his diebus neve baptizetis hominem vel mulierem diebus quibus dominantur hæc eadem astra, quando luna emergit ex his astris vel cum eis progreditur. Ipsum diem observate ex quo luna his constellationibus egressa fuerit et tunc baptizate et incipite omnia opera vestra. Timete etiam diem sabbati, quod ex istis una sit; et tertia quoque die sabbati cavete ne incipiatis opus; etenim tribus annis Trajani Cæsaris absolutis, ex quo subegit Parthos suæ dominationi, completis his tribus annis, sævit bellum inter angelos impietatis Ursorum, quapropter turbantur omnia regna impietatis.

17. Quod igitur hæc magna et ineffabilia mysteria æstimaret esse iniquum conculcari et vulgo tradi, hortatur ut veluti pretiosæ margaritæ custo-

ἐξουσίας τῶν ἡμερῶν ἀρχῆς cod. Millerus, Dunckerus. Delendum ἀρχῆς quæ glossa ἐξουσίας irrepsit in textum et legendum : ἀπὸ τῶν ἡμερῶν τῆς ἐξουσίας αὐτῶν. Vide infra : ἐν ταῖς ἡμέραις τῆς ἐξουσίας αὐτῶν. — 1. ποιῆτε cod. Millerus. Legendum cum Dunckero ποιεῖτε. — 3. διαπορεύεται cod. – Litterarum ἐξ αὐ vestigia tantum supersunt in cod. Miller. — 7-8. πύλας ἔσεσθαι cod. pro Φυλάσσεσθε correxit Millerus. — 8. κατάρχεσθε cod. sæpe αι et ε confusis. — 9-10. ὑπέταξε ἐκ τοῦ τῆς ἐξουσίας τοῦ Πάρθου cod. Legi cum Rœpero : ὑπέταξεν ἑαυτοῦ τῇ ἐξουσίᾳ τοὺς Πάρθους. Millerus conjicit : ὑπέταξεν ἕκτου [καὶ δεκάτου] τῆς ἐξουσίας τὸν Πάρθον. — 10. ἀγγρίζεται cod.

λεύει ὡς πολυτελεῖς μαργαρίτας φυλάσσειν οὕτω λέγων· Τοῦτον δὲ τὸν λόγον μὴ ἀναγινώσκετε πᾶσιν ἀνθρώποις, καὶ ταύτας τὰς ἐντολὰς φυλάξατε ἐπιμελῶς, ὅτι οὐ πάντες ἄνδρες πιστοὶ οὐδὲ πᾶσαι γυναῖκες ὀρθαί· ταῦτα δὲ οὐδὲ Αἰγυπτίων σοφοὶ ἐν ἀδύτοις ἐχώρησαν, οὐδὲ ὁ σοφὸς Ἑλλήνων Πυθαγόρας ἐχώρησεν. Εἰ γὰρ τετυχήκει κατ' ἐκεῖνο καιροῦ Ἠλχασαΐ, τίς ἀνάγκη Πυθαγόραν ἢ Θαλῆν, ἢ Σόλωνα, ἢ τὸν σοφὸν Πλάτωνα, ἢ καὶ τοὺς λοιποὺς Ἑλλήνων σοφοὺς, μαθητεύειν Αἰγυπτίων ἱερεῦσιν, ἔχοντας τὴν τοιαύτην καὶ τοσαύτην σοφίαν παρὰ Ἀλκιβιάδῃ, ἅτε τῷ θαυμασιωτάτῳ ἑρμηνεῖ τοῦ δυσλήνου Ἠλχασαΐ? Δοκεῖ [297] τοίνυν ἱκανὰ εἶναι πρὸς ἐπίγνωσιν τὰ εἰρημένα τῆς τούτων μανίας τοῖς ὑγιαίνοντα νοῦν κεκτημένοις· διὸ πλείοσι ῥητοῖς οὐκ ἔδοξε χρῆσθαι, οὗσι πλείστοις καὶ καταγελάστοις. Ἀλλ' ἐπεὶ μηδὲ ταῦτα παραλείπομεν τὰ ἐφ' ἡμῶν ἐπεγηγερμένα τά τε πρὸ ἡμῶν οὐκ ἐσιωπήσαμεν, δοκεῖ, ἵνα διὰ πάντων ὦμεν πεπορευμένοι [καὶ] μηδὲν ἀνεκδιήγητον καταλείπωμεν, εἰπεῖν τίνα καὶ τῶν Ἰουδαίων [ἔθη], καὶ τίνες αἱ ἐν τούτοις διαφο-

diantur, hæc affatus : Hoc verbum nolite legere omnibus hominibus et hæc mandata servate diligenter, quod non omnes homines sint fideles nec omnes mulieres rectæ. Quæ quidem nec Ægyptiorum philosophi in secretioribus doctrinis comprehenderunt, nec inter Græcos philosophus Pythagoras comprehendit. Quod si igitur tunc temporis occurrisset Elchasai, quid necesse esset Pythagoras vel Thales, vel Solon, vel sapiens Plato, vel cæteri Græcorum philosophi, sese ut discipulos addicerent Ægyptiorum sacerdotibus, qui talem et tantam sapientiam haberent apud Alcibiadem interpretem maxime mirabilem istius miseri Elchasai? Quæ igitur dicta sunt sufficere videntur ut qui mente sana sunt istorum insaniam cognoscant. Itaque non opus esse censeo ampliorem de dictis eorum mentionem facere, quum jam sint citata et plurima et ridicula. Quum autem nec omittamus hæreses quæ nostris temporibus excitatæ sunt nec eas quæ ante nos exstiterunt, nunc nobis videtur, ut omnia a nobis sint perlustrata, nihil silentio prætermissum, nonnulla dicere de Judæis, et quæ sint apud illos dissidia exponere. Hæc adhuc desi-

1. Conf. Evang. sec. Matth. VII, 6. — 6. Ἠλχασαΐ τις, ἀνάρχη cod. Mill. Sicuti nos Rœper. et Dunck. — 8. ἔχουσι cod. Miller. Dunck. — 15. [καὶ] add. Millerus. — καταλείπομεν cod. — 16. [ἔθη] restituendum. Conf. supra, p. 424, l. 11.

ραί· ἔτι γὰρ ταῦτα νομίζω παραλείπεσθαι, ἃ μηδὲ αὐτὰ σιωπήσας ἐπὶ τὴν ἀπόδειξιν τοῦ περὶ ἀληθείας Λόγου χωρήσω, ὅπως μετὰ τὸν πολὺν ἀγῶνα τοῦ κατὰ πασῶν αἱρέσεων λόγου, ἐπὶ [τὸν] τῆς βασιλείας στέφανον ὁρμήσαντες εὐσεβῶς, τὰ ἀληθῆ πιστεύοντες μὴ ταρασσώμεθα.

δ'. Ἰουδαῖοι.

18. Ἰουδαίων μὲν ἀρχῆθεν ἓν ἦν ἔθνος· εἷς γὰρ ὁ τούτοις δοθεὶς παρὰ Θεοῦ διδάσκαλος Μωσῆς καὶ εἷς ὁ διὰ τούτου νόμος· μία δὲ ἔρημος χώρα, καὶ ἓν ὄρος τὸ Σινᾶ· εἷς γὰρ ὁ τούτοις νομοθετήσας Θεός. Αὖθις δὲ διαβάντες τὸν Ἰορδάνην ποταμόν, καὶ τὴν δορύκτητον γῆν κληρονομήσαντες διαφόρως τὸν τοῦ Θεοῦ νόμον διέσπασαν, ἄλλος ἄλλως ἐπινοῶν τὰ εἰρημένα, καὶ οὕτως διδασκάλους ἑαυτοῖς ἐπεγείραντες, δόξας αἱρέσεων ἐφευρόντες, εἰς μερισμὸν ἐχώρησαν, ὧν τὴν διαφορὰν ἐκθήσομαι· εἰ δὲ καὶ εἰς πλεῖστα μέρη διεσπάσθησαν τῷ μακρῷ χρόνῳ, ἀλλά γε τὰ κεφαλαιωδέστερα αὐτῶν ἐκθήσομαι, δι' ὧν καὶ τὰ λοιπὰ οἱ φιλομαθεῖς εἴσονται εὐκό-

derari puto; quibus expositis ad ea pergam quæ de veritate revelavit Verbum, ut postquam multo sermone contra omnes hæreses certatum sit, ad cœlestis regni coronam nostris animis pie conversis, vera credentes non turbemur.

IV. JUDÆI.

18. Judæorum gens ab initio una erat. Unus enim eis datus est a Deo institutor Moyses et per hunc una lex. Unum quoque desertum et mons unus Sina; et unus eorum legislator Deus. At postquam trajecerunt flumen Jordanem et terram ferro quæsitam sortiti sunt, diverse legem Dei discerpserunt, alio aliter commentante quæ dicta erant, et ita sibi institutores suscitantes et hæretica dogmata excogitantes in varias partes iverunt; in quibus autem differant exponemus. Quod si longo tempore in plurimas partes Judæi divisi fuerunt, præcipua eorum discrimina exponemus quibus

2. χωρῆσα cod. — 3. [τὸν] add. Mill. — 4. Vox εὐσεβῶς in cod. evanida. Mill. — πιστεύωντες cod. — Cap. IV, l. 6. ἔθος legit Dunck. pro ἔθνος, perperam; ἔθνος enim accipitur pro ordine et genere hominum. Conf. etiam sqq. εἷς ὁ νόμος.

λως. Τρία γὰρ παρ' αὐτοῖς εἴδη διαιρεῖται, καὶ τοῦ μὲν αἱρετισταὶ εἰσὶ Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, ἕτεροι δὲ Ἐσσηνοί. Οὗτοι τὸν βίον σεμνότερον ἀσκοῦσι, φιλάλληλοι [298] ὄντες καὶ ἐγκρατεῖς, πάσης τε ἐπιθυμίας ἔργον ἀποστρέφονται, ἀπεχθῶς καὶ πρὸς [τὸ] τὰ τοιαῦτα ἀκοῦσαι ἔχοντες, γάμον τε ἀπαγορεύουσι, τοὺς δὲ ἀλλοτρίους παῖδας ἀναλαμβάνοντες τεκνοποιοῦνται καὶ πρὸς τὰ ἴδια ἔθη ἄγουσιν, οὕτως ἀνατρέφοντες καὶ ἐπὶ τοῖς μαθήμασι προβιβάζοντες, οὐ τὸ γαμεῖν κωλύοντες, ἀλλ' αὐτοὶ γάμου ἀπεχόμενοι. Γυναῖκας δέ, εἰ καὶ τῇ αὐτῇ προαιρέσει βούλοιντο προσέχειν, οὐ προσδέχονται, κατὰ μηδένα τρόπον γυναιξὶ πιστεύοντες.

19. Καταφρονοῦσι δὲ πλούτου, καὶ τὸ πρὸς τοὺς δεομένους κοινωνεῖν οὐκ ἀποστρέφονται, ἀλλ' οὐδέ τις παρ' αὐτοῖς ὑπὲρ τὸν ἕτερον πλουτεῖ. Νόμος γὰρ παρ' αὐτοῖς τὸν προσιόντα τῇ αἱρέσει τὰ ὑπάρχοντα πωλοῦντα τῷ κοινῷ προσφέρειν, ἃ ὑποδεχόμενος

cætera facile intelligent qui cupidi sunt discendi. Tria igitur hominum genera apud eos distinguuntur; et alius quidem generis asseclæ sunt Pharisæi, alius Sadducæi, alius vero Essenii. Hi vitam severiorem exercent, mutuo sese amore complectentes et sibi imperantes, ab omnibus concupiscentiæ actis abhorrent; talia etiam audire illis invisum est. Nuptias vetant, alienosque liberos suscipientes pro suis reputant suisque moribus informant. Sic autem eos instituunt et ad disciplinas suas capessendas instruunt, non vetantes nubere, sed ipsi a nuptiis abstinentes. Mulieres autem, etsi hoc idem consilium inire vellent, non admittunt, nullo modo mulieribus confisi.

19. Quin et divitias contemnunt et cum egentibus sua impertiri non recusant, nec quisquam apud eos plura aliis possidet. Lege sancitur apud eos ut qui isti sectæ sese addicere velint bona sua vendant argentumque soda-

1 sqq. Cum his et sqq. conf. Joseph. *De bello Judaico*, II, VIII. — 2. Ἐσσηνοί ubique in cod. — 4. [τὸ] add. Miller. — 6. τέκνα ποιοῦνται Duncker. At τεκνοποιοῦμαι et παιδοποιοῦμαι habet Xenophon. – Josephus l. l. habet : γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐκτυποῦσι. — 8. Josephus : τὸν μὲν γάμον... οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλασσόμενοι. — 11. Jos. : Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνητικόν.

[ὁ] ἄρχων διανέμει ἅπασι πρὸς τὰ δέοντα. Οὕτως οὐδεὶς ἐνδεὴς παρ' αὐτοῖς. Ἐλαίῳ δὲ οὐ χρῶνται, μολυσμὸν ἡγούμενοι τὸ ἀλείφεσθαι. Χειροτονοῦνται δὲ οἱ ἐπιμεληταὶ οἱ πάντων κοινῶν φροντίζοντες, πάντες δὲ ἀεὶ λευχειμονοῦσι.

20. Μία δὲ αὐτῶν οὐκ ἔστι πόλις, ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσι πολλοί. Καὶ εἴ τις ἀπὸ ξένης παρῇ τῶν αἱρετιστῶν, πάντα αὐτῷ κοινὰ ἡγοῦνται, καὶ οὓς οὐ πρότερον [299] ἤδεσαν, ὡς οἰκείους καὶ συνήθεις προσδέχονται. Περιΐασι δὲ τὴν πατρῴαν γῆν ἑκασταχόσε ἀποδημοῦντες, μηδὲν φέροντες πλὴν ὅπλου. Ἔχουσι δὲ καὶ κατὰ πόλεις πανδοκεῖα, ὃς τὰ συναγόμενα εἰς τοῦτο ἀναλίσκει, ἐσθῆτα καὶ τροφὰς αὐτοῖς παρασκευάζων. Κατασταλὴ δὲ αὐτῶν καὶ σχῆμα κόσμιον. Χιτῶνας δὲ δύο ἢ διπλᾶς ὑποδέσεις οὐ κτῶνται· ἐπὰν δὲ τὰ παρόντα παλαιωθῇ, τότε ἕτερα προσίενται. Οὐδὲν δὲ ὅλως οὔτε ἀγοράζουσιν οὔτε πωλοῦσιν· ὃ δ' ἂν ἔχῃ τις τῷ μὴ ἔχοντι δούς, ὃ οὐκ ἔχει λαμβάνει.

litio conferant, quo accepto præses omnibus dividit ad necessaria vitæ. Sic apud eos nemo egenus est. Oleo autem non utuntur, ungi inquinamentum esse æstimantes. Designatos habent communium rerum procuratores; omnes autem candida veste amiciuntur.

20. Illis non est una civitas, sed domicilia habent multi in singulis. Et si quis hujusce sectæ aliunde advenerit, illi omnia communia esse cum semetipsis autumant, et quos prius minime noverant, veluti propinquos et familiares excipiunt. Circumeunt patriam terram quum peregre proficiscuntur, nihil ferentes præter arma. Habent autem in singulis civitatibus præsidem, cujus officium est impendere collecta ut illis vestes et cibos suppeditet. Amictus autem eorum et cultus corporis modestus. Nec duas tunicas nec duplices calceos possident. Quum hæc sunt vetustate detrita, tunc alia assumunt; nihil omnino inter se emunt nec vendunt; quod quis habet non habenti largitur ac vicissim quod non habet accipit.

1. [ὁ] add. Mill. — 2. ἀλείψεσθαι cod. — 3. Jos. : χειροτονητοὶ δὲ οἱ τῶν κοινῶν ἐπιμεληταί, καὶ ἀδιαίρετοι πρὸς ἅπαντων εἰς τὰς χρείας ἕκαστοι. – κοινῶν φροντίζοντες, supersunt in cod. litteræ κοινω ...ζοντες cum obscuris vestigiis litterarum υτ et accentu. Mill. — 7. Jos. : καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους. – εἴδεσαν cod. — 8. ἕκαστός τε cod.; ἕκαστός τις Mill.; ἑκάστοτε Dunck. Mallem ἑκασταχόσε. — 9. Jos. : διὰ δὲ τοῦς ληστὰς ἔνοπλοι.

21. Παραμένουσι δὲ εὐτάκτως καὶ ἐπιμόνως εὐχόμενοι ἕωθεν, μηδὲν πρότερον φθεγξάμενοι εἰ μὴ τὸν Θεὸν ὑμνήσωσι· καὶ οὕτω προελθόντες ἕκαστοι ἐφ' ὃ βούλονται πράτλουσι, καὶ ἕως ὥρας πέμπτης πράξαντες ἐπανίασιν. Ἔπειτα πάλιν συνελθόντες εἰς ἕνα τόπον περιζώμασί τε λινοῖς περιζωσάμενοι πρὸς τὸ καλύψασθαι τὴν αἰσχύνην, οὕτως ὕδατι ψυχρῷ ἀπολούονται, καὶ μετὰ τὸ οὕτως ἁγνίσασθαι, εἰς ἓν οἴκημα συνίασιν (οὐδεὶς δὲ ἑτεροδόξῳ σύνεισιν ἐν τῷ οἴκῳ), καὶ περὶ ἀρισλοποιΐαν χωροῦσι. Καθισάντων δὲ κατὰ τάξιν μεθ' ἡσυχίας προσφέρονται ἄρτον, ἔπειτα ἕν τι προσφάγιον, ἐξ οὗ ἑκάστῳ τὸ αὐταρκες μέρος. Οὐ πρότερον δὲ γεύεταί τις αὐτῶν, εἰ μὴ ἐπεύξεται εὐλογῶν ὁ ἱερεύς. Μετὰ δὲ τὸ ἄρισλον ἐπευξαμένου πάλιν, ἀρχόμενοί τε καὶ πάλιν παυόμενοι ὑμνοῦσι τὸν Θεόν. Ἔπειτα τὰς ἐσθῆτας, ἃς [300] ἔνδον συνεσλιώμενοι ἀμφιέννυνται, ἀποθέμενοι ὡς ἱερᾶς, εἰσὶ δὲ λιναῖ, τὰς ἐν τῇ προόδῳ πάλιν ἀνα-

21. Manent autem composite et constanter orantes a prima luce, nec ullum verbum proferunt antequam hymnum Deo dixerint, illoque dicto egressi, operam quam quisque velit navant, in qua postquam usque ad quintam horam versati sunt, quiescunt; jam denuo in unum locum simul convenientes, et velaminibus lineis præcincti ad tegendum quod pudendum est, corpus frigida aqua abluunt, et, hac lustratione peracta, in unum conclave (quo alius sectæ nemini pedem inferre licet) una omnes conveniunt et ad prandium sumendum accedunt; ubi ordine ac placide consederint, panes apponuntur et pulmentarium quoddam ex quo pars sufficiens cuique datur. Nemo autem eorum quidquam gustat antequam sacerdos benedixerit et preces adhibuerit. Prandio autem absoluto iterum precatur; et, quum edere incipiunt et desinunt, hymnum Deo dicunt. Deinde vestibus quas induti una comederunt, quasi sacris depositis, sunt enim lineæ, et illas quæ in

1. ἀτάκτως cod.; εὐτάκτως Mill. Conf. infra, l. 8-9, κατὰ τάξιν. Forsan ἀταράκτως? — 5 sqq. Jos.: ζωσάμενοί τε σκεπάσμασι λινοῖς, οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύτην τὴν ἁγνείαν, εἰς ἴδιον οἴκημα συνίασιν. — 8. Καθησάντων (sic) cod. — 9. Jos.: ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἑδέσματος ἑκάστῳ παρατίθησι. — 11. εἰμὶ cod. corr. Millerus. — δὲ καὶ cod. corr. Millerus. — 12. παδόμενοι cod. — 13. ἀμφιέννυνται cod. — 14. λίναι cod.; Jos. λινέαι.

λαμβάνοντες, ἐπὶ τὰ φίλα ἔργα ὁρμῶσιν ἕως δείλης. Δειπνοῦσι δὲ ὁμοίως τοῖς προειρημένοις πάντα ποιήσαντες. Οὐδεὶς δὲ πώποτε κραυγάσει, ἤ τις ἑτέρα θορυβώδης ἀκουσθήσεται φωνή, ἠρέμα δὲ ἕκασλοι λαλοῦντες, εὐσχημόνως ἕτερος τῷ ἑτέρῳ τὴν ὁμιλίαν συγχωρεῖ, ὡς τοῖς ἔξωθεν μυσλήριόν τι καταφαίνεσθαι τὴν τῶν ἔνδον σιωπήν. Νήφουσι δὲ πάντοτε πάντα μέτρῳ καὶ ἐσθίοντες καὶ πίνοντες.

22. Πάντες μὲν οὖν τῷ προεσλῶτι προσέχουσι, καὶ ὅσ' ἂν κελεύσῃ ὡς νόμῳ πείθονται. Ἐσπουδάκασι γὰρ πρὸς τὸ ἐλεεῖν καὶ βοηθεῖν τοῖς καταπονουμένοις. Πρὸ δὲ πάντων ὀργῆς ἀπέχουσι καὶ θυμοῦ καὶ πάντων τῶν ὁμοίων, ἐπίβουλα ταῦτα τοῦ ἀνθρώπου κρίνοντες. Οὐδεὶς δὲ ὄμνυσι παρ' αὐτοῖς, ὅσα δ' ἄν τις εἴπῃ, τοῦτο ὅρκου ἰσχυρότερον κρίνεται. Εἰ δὲ ὁμόσει τις, καταγινώσκεται ὡς μὴ πισλευθεὶς [δίχα Θεοῦ]. Σπουδάζουσι δὲ περὶ τὰς τοῦ νόμου ἀναγνώσεις καὶ προφητῶν, ἔτι δὲ καὶ εἴ τι σύνταγμα εἴη πισλῶν.

vestibulo erant resumentes ad opera sua vadunt usque ad crepusculum. Cœnam sumunt eodem supradicto ritu quæque facientes. Nec ullus unquam inter eos clamor audietur nec tumultuosa vox, sed placide loquentes alii aliis dicendi vices decenter concedunt. Illis qui foris sunt mysterii instar videtur silentium eorum qui intus sunt. Sobrietate perpetua excellunt, sibi cibum et potionem metientes.

22. Omnes præsidi studiose obtemperant et quodcumque mandat quasi legem exsequuntur. Student misereri eorum qui malis afficiuntur et eos juvare. Ira et violentia animi præsertim abstinent, eas esse insidias hominis arbitrati. Nemo apud eos jusjurandum profert; quidquid ab ipsis dictum est juramento firmius existimatur. Quod si quis juraverit, eum damnatum dicunt, quasi cui absque Deo nequaquam credatur. Toti incumbunt legendo legem et prophetas et si quid aliud volumen est ad usum fidelium. Studio-

3. ἀκολουθήσεται cod. corr. Miller. — 4. Joseph. : τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις. — 4-5. συνεχώρει cod. — 8-9. ὅσα κελεύσει cod.; ὅσ' ἂν κελεύσῃ susp. Mill. Conf. infra, ὅσα δ' ἄν τις εἴπῃ. — 13. ὠμόσει cod. — 14. [δίχα Θεοῦ] restit. ex Jos. — 14-15. Josephus : Σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλισλα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες.

Πάνυ δὲ περιέργως ἔχουσι περὶ βοτάνας καὶ λίθους, περιεργότεροι ὄντες πρὸς τὰς τούτων ἐνεργείας, φάσκοντες μὴ μάτην ταῦτα γεγονέναι.

23. Τοῖς δὲ βουλομένοις τῇ αἱρέσει μαθητεύειν οὐκ εὐθέως τὰς παραδόσεις ποιοῦνται, εἰ μὴ πρότερον δοκιμάσωσιν. Ἐπ' ἐνιαυτὸν δὲ τὰς ὁμοίας τροφὰς παρατιθέασιν ἔξω τῆς ἑαυτῶν συνόδου οὖσιν ἐν ἑτέρῳ οἴκῳ, ἀξινάριόν τε [301] καὶ τὸ λινοῦν περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισιν ἐγγίον τῇ διαίτῃ, καὶ καθαρτέρως ἀπολούεται ἢ τὸ πρότερον· οὐδέπω δὲ σὺν αὐτοῖς τροφῆς μεταλαμβάνει· μετὰ γὰρ τὸ δεῖξαι εἰ ἐγκρατεύεσθαι δύναται, ἐπὶ ἔτη ἄλλα δύο δοκιμάζεται τοῦ τοιούτου τὸ ἦθος, καὶ φανεὶς ἄξιος, οὕτως εἰς αὐτοὺς κρίνεται. Πρὶν δὲ αὐτοῖς συνεσθιαθῇ, ὅρκοις φρικτοῖς ὁρκίζεται, πρῶτον μὲν εὐσεβήσειν τὸ Θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν καὶ κατὰ μηδένα τρόπον ἀδικήσειν τινά, μηδένα δὲ μήτε ἀδικοῦντα

sissime inquirunt herbarum et lapidum naturam, curiosius eorum virtutes investigantes; hæc enim non incassum creata fuisse dicunt.

23. Qui hujus sectæ studio tenentur non docentur antequam probati sint. Sed annum integrum manent in alia domo, et cœtu exclusis idem vitæ genus præscribunt dolabella et lineo cingulo et veste candida cuique traditis. Postquam vero hoc temporis intervallo continentiæ suæ documenta dederit propius ad instituti communionem accedit et aquis purioribus quam ante lustrari incipit. Nondum tamen ad convictum admittitur. Postquam autem temperantiam suam palam fecerit (nam ea in re per duos ulterius annos mores ejus explorant), si dignus apparuerit, in consortium admittitur. Priusquam vero communem cibum attingat horrendis juramentis sese adstringit: primum quidem se pie culturum Deum, deinde jus servaturum cum hominibus, neque ullo modo læsurum quemquam, neque odio

4. τοῖς pro τὰς cod. — 6. συνόδου in cod. vestigia tenuissima. Mill. — 9. ἐγγίῳ cod. cum ι subscripto; corr. Mill.–καθαρωτέρων Joseph. Porphyrus, qui Josephum exscripsit, καθαρώτερον. Mill. – καθαρωτέρως ἀπολαύεται cod. Mill. — 10. Jos.: παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. – οὐδυνέω cod. pro οὐδέπω. — 12. τοιούτου γάρ. Delevit γάρ Miller. – Josephus: οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. — 13. Jos.: ὅρκους αὐτοῖς ὀμνυσι φρικώδεις Mill. — 15 et p. 461, l. 1 sqq. Hæc et sequentia quæ ad Essenios, Pharisæos et Sadducæos attinent, ab ipso Josepho

μήτε ἐχθρὸν μισήσειν, προσεύχεσθαι δὲ ὑπὲρ αὐτῶν, συναγωνίζεσθαι τοῖς δικαίοις, τὸ πιστὸν πᾶσι παρέξειν, μάλιστα τοῖς κρατοῦσι, μηδὲ ἀπειθήσειν· οὐ γὰρ δίχα Θεοῦ συμβαίνει τινὶ τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ, μηδέποτε ὑπερηφανεύσασθαι ἐν ἐξουσίᾳ, ἢ τινὶ κόσμῳ πλεῖον τοῦ ἔθους χρήσασθαι· φιλαλήθη δὲ εἶναι, τὸν δὲ ψευδόμενον 5

quemquam prosecuturum, nec injustum nec infensum virum, sed pro eis preces Deo oblaturum et justis adjutorem fore; fidem se semper omnibus servaturum maximeque eis qui imperant et eis obtemperaturum, quod nemini sine Deo obveniat imperandi potestas; quod si ipse fuerit imperium adeptus, non superbe usurum potestate; nec ornatum quemdam præter solitos assumpturum; vera amaturum; propositumque habere mentientem

ἐπισκιάσαντος τοῦ Ἁγίου Πνεύματος, οὐκ ἐν τῇ Παρθένῳ σαρκωθέντα, ὕστερον δὲ ἐπὶ τοῦ βαπτίσματος κατεληλυθέναι τὸν Χριστὸν ἐπὶ τὸν Ἰησοῦν ἐν εἴδει περιστερᾶς, ὅθεν φασὶ μὴ πρότερον τὰς δυνάμεις αὐτῷ ἐνεργηθῆναι. Θεὸν δὲ οὐκ εἶναι τὸν Χριστὸν θέλει. Καὶ τοιαῦτα Θεόδοτος.

ις'. Ἕτεροι Θεοδότειοι.

24. Ἕτεροι δὲ καὶ ἐξ αὐτῶν πάντα [ὁμοίως] τοῖς προειρημένοις λέγουσιν, ἓν μόνον ἐνδιαλλάξαντες ἐν τῷ τὸν Μελχισεδὲκ[329] ὡς δύναμίν τινα [μεγίστην] ὑπειληφέναι, φάσκοντες αὐτὸν ὑπὲρ πᾶσαν δύναμιν ὑπάρχειν, οὗ κατ' εἰκόνα εἶναι τὸν Χριστὸν θέλουσιν.

ιζ'. Φρύγες.

25. Οἱ δὲ Φρύγες ἐκ Μοντάνου τινὸς καὶ Πρισκίλλης καὶ Μαξιμίλλης τὰς ἀρχὰς τῆς αἱρέσεως λαβόντες, προφήτιδας τὰ γύναια νομίζοντες, καὶ προφήτην τὸν Μοντᾶνον· τὰ δὲ περὶ τῆς τοῦ παν-

brante Spiritu Sancto, non tamen carnem in Virgine induisse, denique post baptisma Christum super Jesum descendisse sub specie columbæ, unde dicunt eum ante baptisma non effecisse miracula. Deum autem esse Christum negat. Hæc docuit Theodotus.

XVI. ALTERA THEODOTEORUM SECTA.

24. Alii ex istis omnia docent supradictis similia; in uno illo discrepant quod Melchisedech veluti potestatem maximam quamdam suscipiant eumque dicant superare omnem potestatem; imaginem autem illius Christum esse volunt.

XVII. PHRYGES.

25. Phryges ex Montano et Priscilla et Maximilla originem hæresis suæ duxerunt, æstimantes has mulieres prophetissas esse et Montanum ipsum

Cap. XVI, tit. Conf. supra, p. 391. — 6. [ὁμοίως] supplevi. Cf. supra, p. 391, l. 10. — 7. λέγουσι cod. — 8. [μεγίστην] restit. Conf. supra, p. 391, l. 8. — 9. οὗ cod. Mill. Vide supra, l. l.: οὗ κατ' εἰκόνα φάσκουσι τὸν Χριστόν; εἰκόνα δὲ cod. Millerus; δὲ delendum. — Cap. XVII, tit. Conf. supra, p. 391, l. 9. De Phrygibus, p. 419-420.

τὸς ἀρχῆς καὶ δημιουργίας ὀρθῶς λέγειν νομίζονται, καὶ τὰ περὶ τὸν Χριστὸν οὐκ ἀλλοτρίως προσειλήφασιν· σὺν δὲ τοῖς προειρημένοις σφάλλονται, ὧν τοῖς λόγοις ὑπὲρ τὰ εὐαγγέλια προσέχοντες πλανῶνται, νησλείας καινὰς καὶ παραδόξους ὁρίζοντες.

26. Ἕτεροι δὲ αὐτῶν τῇ τῶν Νοητιανῶν αἱρέσει προσκείμενοι, τὰ μὲν περὶ τὰ γύναια καὶ Μοντᾶνον ὁμοίως δοκοῦσι, τὰ δὲ περὶ [τὸν] τῶν ὅλων πατέρα δυσφημοῦσιν, αὐτὸν εἶναι υἱὸν καὶ πατέρα λέγοντες ὁρατὸν καὶ ἀόρατον, γεννητὸν καὶ ἀγέννητον, θνητὸν καὶ ἀθάνατον. Οὗτοι τὰς ἀφορμὰς ἀπὸ Νοητοῦ τινὸς λάβοντες.

ιη'. Νοητός.

27. Ὁμοίως δὲ καὶ Νοητὸς, τῷ μὲν γένει ὢν Σμυρναῖος, ἀνὴρ ἀκριτόμυθος καὶ ποικίλος, εἰσηγήσατο τοιάνδε αἵρεσιν ἐξ Ἐπιγόνου τινὸς εἰς Κλεομένην χωρήσασαν, καὶ οὕτως ἕως νῦν ἐπὶ τοὺς διαδόχους διαμείνασαν, λέγων ἕνα τὸν πατέρα καὶ Θεὸν τῶν ὅλων·

prophetam. De principio autem universorum et de creatione recte sentire existimantur, et quæ ad Christum pertinent consimiliter confitentur. Cum iis vero de quibus supra dictum est errant, sermonibus suorum prophetarum magis aurem præbentes quam Evangeliis, definientesque nova jejunia et monstruosa.

26. Quidam inter istos, hæresi Noetianorum adhærentes, et ea quæ ad mulieres et Montanum spectant similiter docent, et universorum patrem obtrectant, eum esse dicentes filium et patrem visibilem et invisibilem, genitum et ingenitum, mortalem et immortalem. Isti sunt qui a Noeto quodam originem doctrinæ suæ duxerunt.

XVIII. NOETUS.

27. Similiter et Noetus, genere Smyrnæus, homo futilis et versutus, induxit hæresim quæ ex Epigono orta ad Cleomenem pervenerat et manet usque nunc apud successores eorum. Dixit igitur Noetus unum esse Deum et

1. *νομίζουσι* cod.; *νομίζονται* conjic. Mill. — 4. *παραδόσεις* cod. Mill.; *παραδόξους* Dunck. — 6. *καὶ* cod.; *κατὰ* male conj. Miller. — 7. [*τὸν*] add. Saupp. — CAP. XVIII, tit. Conf. supra, p. 425 sqq. — 11. *ποικῖλος* cod.

τοῦτον πάντα πεποιηκότα, ἀφανῆ μὲν τοῖς οὖσι γεγονέναι ὅτε ἠβούλετο· φανῆναι δὲ τότε ὅτε ἠθέλησε· καὶ τοῦτον εἶναι ἀόρατον ὅτε μὴ ὁρᾶται· ὁρατὸν δέ, ὅταν ὁρᾶται· ἀγέννητον δέ, ὅταν μὴ γεννᾶται· γεννητὸν δέ, ὅταν γεννᾶται ἐκ Παρθένου· ἀπαθῆ καὶ ἀθάνατον, ὅτε μὴ πάσχῃ μήτε θνήσκῃ· ἐπὰν δὲ πάθῃ προσέλθῃ, πάσχειν καὶ θνήσκειν· τοῦτον τὸν Πατέρα αὐτὸν Υἱὸν νομίζουσι κατὰ καιροὺς καλούμενον πρὸς τὰ συμβαίνοντα. Τούτων τὴν αἵρεσιν (330) ἐκράτυνε Κάλλιστος, οὗ τὸν βίον ἐκτεθείμεθα ἀσφαλῶς, ὃς καὶ αὐτὸς αἵρεσιν ἀπεγέννησεν· ἐξ ὧν ἀφορμὰς λαβὼν καὶ αὐτὸς ὁμολογῶν ἕνα εἶναι τὸν Πατέρα καὶ Θεὸν τοῦτον δημιουργὸν τοῦ παντός, τοῦτον δὲ εἶναι Υἱὸν ὀνόματι μὲν λεγόμενον καὶ ὀνομαζόμενον, οὐσίᾳ δὲ [ἓν] εἶναι [Πνεῦμα]· Πνεῦμα γάρ, φησίν, ὁ Θεὸς οὐχ ἑτερόν ἐστι παρὰ τὸν Λόγον ἢ ὁ Λόγος παρὰ τὸν Θεόν· ἓν οὖν τοῦτο πρόσωπον ὀνόματι μὲν μεριζόμενον, οὐσίᾳ δὲ οὔ. Τοῦτον τὸν Λόγον ἕνα εἶναι Θεὸν ὀνομάζει καὶ σεσαρκῶσθαι λέγει. Καὶ τὸν μὲν κατὰ σάρκα ὁρώμενον καὶ κρατούμενον Υἱὸν εἶναι θέλει, τὸν

patrem universorum, illum omnia fecisse et absconditum fuisse iis qui sunt, quum vellet, et eumdem, quum vellet, apparuisse, et esse invisibilem quando non conspicitur, visibilem vero quando conspicitur; et ingenitum quando non gignitur homo, et genitum quando ex Virgine nascitur, et impassibilem et immortalem quando nec patitur nec moritur. Quum autem passiones adsint, pati et mori. Eumdem Patrem et Filium, propriis temporibus vocatum fuisse existimant propter ea quæ ei acciderunt. Hanc hæresim confirmavit Callistus, cujus vitam bona fide exposuimus, qui quidem et ipse hæresim generavit. Ex istis igitur hæreticis originem ducens et confessus unum esse Patrem et Deum, illum creatorem universi et hunc esse Filium quidem nomine dictum et appellatum, substantia autem unum esse; Spiritus enim Deus idem est in Verbo et Verbi Spiritus idem in Deo. Unam igitur personam nomine dividit, non autem substantia. Hoc verbum unum Deum vocat et incarnatum esse dicit. Eum vero in carne visum et comprehensum

4. ὅτε cod. Mill. Lege ὅταν. — 5. An προσέλθῃ [καὶ θάνατος]? — 6. θνήσκειν τοῦτον τὸν πατέρα· αὐτὸν cod. Mill. Lege θνήσκειν· τοῦτον τὸν πατέρα αὐτὸν. Sic etiam Dunckerus. — 12. [ἓν] ... [πνεῦμα] restituenda ut liquet ex superis, p. 442, l. 6, et ex sqq. πνεῦμα γάρ. — 16. σταυρούμενον conj. R. Scott. pro κρατούμενον. — θέλειν cod.

δὲ ἐνοικοῦντα Πατέρα, ποτὲ μὲν τῷ Νοητοῦ δόγματι περιῤῥηγ[νύ]μενος, ποτὲ δὲ τῷ Θεοδότου, μηδὲν ἀσφαλὲς κρατῶν. Ταῦτα τοίνυν Κάλλισ*τος*.

ιθ'. Ἑρμογένης.

28. Ἑρμογένης δέ τις καὶ αὐτὸς θελήσας τι λέγειν, ἔφη τὸν Θεὸν ἐξ ὕλης συγχρόνου καὶ ὑποκειμένης τὰ πάντα πεποιηκέναι· ἀδυνάτως γὰρ ἔχειν τὸν Θεὸν μὴ οὐχὶ ἐξ ὄντων τὰ γενόμενα ποιεῖν.

κ'. Ἠλχασαΐται.

29. Ἕτεροι δέ τινες ὡς καινόν τι παρεισάγοντες, ἐκ πασῶν αἱρέσεων ἐρανισάμενοι, ξένην βίβλον σκευάσαντες Ἠλχασαΐ τινος ἐπονομαζομένην· οὗτοι τὰς μὲν ἀρχὰς τοῦ παντὸς ὁμοίως ὁμολογοῦσιν ὑπὸ τοῦ Θεοῦ γεγονέναι, Χριστὸν δὲ ἕνα οὐχ ὁμολογοῦσιν, ἀλλ' εἶναι τὸν μὲν ἄνω ἕνα, αὐτὸν δὲ μεταγγιζόμενον ἐν σώμασι [πολ-

Filium esse dicit, et in eodem Patrem inhabitantem, aliquando quidem Noeti dogmatibus impingens, aliquando autem Theodoti, nihil sanum apprehendens.

XIX. HERMOGENES.

28. Hermogenes quidam, volens et ipse aliquid dicere, Deum affirmavit ex materia coæterna et subjacenti omnia creavisse; Deum enim non posse ex iis quæ non sunt ea quæ sunt creare.

XX. ELCHASAITÆ.

29. Nonnulli alii velut novum aliquid introducentes, ex omnibus autem hæresibus placitis eorum collectis et parato libro peregrino qui nomen Elchasai cujusdam præferebat, confitentur consimiliter principia universorum a Deo orta esse, Christum autem unum esse negant. Sed contendunt unum quidem illum in cœlis esse, at eumdem sæpe transivisse de corpore

1. Νοητῷ cod. – Uncis inclusa restit. Miller. — Cap. XIX, tit. De Hermogene conf. supra, p. 417. Conf. etiam Theodor. qui videtur sua deprompsisse ex hoc decimi libri loco. (*Hær. fab.* lib. I, c. XIX.) — Cap. XX, tit. De Elchasaitis conf. supra, p. 446. — 11 et p. 509, l. 1. Vocis πολλοῖς vestigia exstant, sed non prorsus certa. Millerus.

λοῖς] ϖολλάκις, καὶ νῦν δὲ ἐν τῷ Ἰησοῦ, ὁμοίως [ϖ]οτὲ μὲν ἐκ τοῦ Θεοῦ γεγενῆσθαι, ϖοτὲ δὲ Πνεῦμα γεγονέναι, ϖοτὲ δὲ ἐκ Παρθένου, ϖοτὲ δὲ οὔ. Καὶ τοῦτον δὲ μετέπειτα ἀεὶ ἐν σώμασι μεταγγίζεσθαι καὶ ἐν ϖολλοῖς κατὰ καιροὺς δείκνυσθαι. Χρῶνται δὲ ἐπα[οι]δαῖς καὶ βαπ[ί]σμασιν [331] ἐπὶ τῇ τῶν σ[ο]ιχείων ὁμολογίᾳ. Σεσόβηνται δὲ ϖερὶ ἀσ[ρ]ολογίαν καὶ μαθηματικήν, καὶ μαγικοῖς [ϖ]ροσέχουσι· ϖ[ρ]ογνωσ[τ]ικοὺς δὲ ἑαυτοὺς λέγουσιν.

κα'. (Λείπει.)

30. [Ἀβραὰμ, κελεύσαντος] τοῦ Θεοῦ, μετοικεῖ Μεσοποταμίας [ἐκ] ϖόλεως Χαῤῥὰν εἰς τὴν νῦν μὲν Παλαισ[τ]ίνην καὶ Ἰουδαίαν ϖροσαγορευομένην χώραν, τότε δὲ Χαναανῖτιν, ϖερὶ ἧς καὶ κατὰ τοῦτο τὸ μέρος τὸν λόγον οὐκ ἀμελῶς ϖαρεδώκαμεν ἐν ἑτέροις λόγοις. Διὰ τοῦτο τοίνυν γίνεται ἡ καταρχὴ τῆς κατὰ τὴν Ἰουδαίαν

in corpus et temporibus nostris in Jesu habitavisse, et eumdem nunc ex Deo natum, nunc Spiritum esse, nunc ex Virgine, nunc vero non ex Virgine. Eumdem deinceps semper transivisse de corpore in corpus et multis, quum esset opportunum, sese manifestavisse. Utuntur incantationibus et baptismatibus in confessione elementorum. Turbide occupantur studiis astrologicis et mathematicis, sese et magicis addicunt; addunt in mente sua inesse vim futura præsciendi.

XXI. HIC NONNULLA DESIDERANTUR.

(Conjicio nostrum auctorem de variis Judæorum sectis hic summatim disseruisse, deinde veræ doctrinæ demonstrationem aggressum exposuisse quæ prima Abrahamo fuerint a Deo promissa.)

30. Abraham, Deo præcipiente, migrat ex Mesopotamia, ex urbe Charra, et pergit ad regionem quæ nunc Palæstina et Judæa vocatur, tunc vero Chanaanitis, de qua sigillatim et non sine cura diximus in sermonibus aliis. Inde

2. An *ἐκ ϖνεύματος γεγονέναι*? — 7. [*ϖροσέχουσι*] restitui, quod prorsus exciderat; *ἐπ[ό]ηνται* susp. Mill. — 8. Uncis inclusa supplevi. – *εἰς* Μεσοποταμίας cod. Miller.; *ἐκ* Μεσοπ... Dunck. — 9. *ϖόλιν* conj. Mill. — 11-12. *ἐν ἑτέροις λόγοις.* De hoc loco et de chronico B. Hippolyto adscripto disserui in libro cui titulus est: *Études sur de nouveaux documents historiques empruntés à l'ouvrage des* Φιλοσοφούμενα. Paris, 1853, p. 72-77.

αὐξήσεως, ἥτις τὴν προσηγορίαν μετέσχεν [τῆς Ἰουδαίας] ἐξ Ἰούδα παιδὸς τοῦ Ἰακὼβ τοῦ τετάρτου, οὗ καὶ [ἡ βασιλεία αὕτη] κέκληται, διὰ τὸ ἐξ αὐτοῦ τὸ βασιλικὸν γένος [εἶναι. Ἀβραὰμ] μετοικεῖ τῆς Μεσοποταμίας [γενόμενος ἐτῶν ο̄ε̄, καὶ] ἑκατοντούτης γενόμενος [τὸν Ἰσαὰκ γεννᾷ· ὁ δὲ Ἰσαὰκ, ἐτῶν γενόμενος] ξ̄, γεννᾷ τὸν Ἰακώβ· ὁ δὲ Ἰακὼβ ἐτῶν π̄ζ̄ γεννᾷ τὸν Λευΐ· ὁ δὲ Λευΐ ἐτῶν μ̄ γεννᾷ τὸν Καάθ· ὁ δὲ Καὰθ ἐτῶν [ἐγένετο δ̄] ἡνίκα συγκατῆλθε τῷ Ἰακὼβ εἰς Αἴγυπτον. Γίνεται τοίνυν πᾶς ὁ χρόνος ὃν παρῴκησεν Ἀβραὰμ καὶ πᾶν τὸ αὐτοῦ γένος κατὰ τὸν Ἰσαὰκ ἐν [τῇ] τότε καλουμένῃ Χαναανίτιδι γῇ, ἔτη σῑε̄· τούτου δὲ γίνεται [πατὴρ] Θάῤῥα· τούτου Ναχὼρ, τούτου Σερούχ, [τούτου Ῥαγαύ, τούτου Φαλέγ, τούτου Ἔβερ,] ὅθεν καὶ τὸ Ἑβραίους καλεῖσθαι [τοὺς Ἰουδαίους]· ἦσαν δὲ

igitur fit exordium crescentis gentis Judaicæ, quæ nomen Judaicum habuit ex Juda, quarto filio Jacob, et ejusdem nomine regnum vocatum est, quod ex eodem regale genus sit ortum. Abraham igitur migrat ex Mesopotamia annos natus septuaginta quinque, et, quum centesimum annum degeret, genuit Isaac. Isaac autem, annis sexaginta natus, genuit Jacob. Jacob autem annis octoginta et septem genuit Levi. Levi autem annis quadraginta genuit Caath; Caath autem annis quatuor erat quum comitatus est Jacob in Ægyptum migrantem. Constat igitur ducentis et quindecim annis omne tempus quo habitavit in regione vocata Chanaanitide Abraham et progenies quam per filium suum Isaac habuit. Illius autem pater est Tharres; istius pater Nachor; istius Sarug; istius Ragavus; istius Phaleg; istius Heber, ex quo Judæi nomen

1. [τῆς Ἰουδαίας] restitui; τοῦ ὀνόματος Rœper. In cod. spatium vacuum litterarum 11. Mill. — 2. [ἡ βασιλεία αὕτη] restitui; κληρονομία αὕτη conj. Rœperus. Spatium vacuum litt. 13. Mill. — 3. Uncis inclusa supplevi. Sicuti nos Rœperus. Spatium vacuum litt. 11. — 3-4. Μεσοποταμίας [καὶ γεννᾷ τὸν Ἰσαὰκ] Rœper. Lego γενόμενος ἐτῶν ο̄ε̄, καὶ. Spatium vacuum litt. 26. Mill. — 4. ἑκατὸν ταύτης cod. pro ἑκατοντούτης. — 4-5. Uncis inclusa supplevi. Spatium vacuum litt. 22. Miller. — 7. [ἐγένετο δ̄] supplevi. Spatium vacuum litt. 9. Mill. Rœperus conj. ἐγένετο κ̄η̄. — 9. [τῇ] add. Mill. — 10-12. Uncis inclusa supplevi. Conf. Josephi *Ann.* lib. I, c. VI. Sicuti nos omissa restituerunt Rœper. Bunsen. Dunck. Lacuna litt. 23. Miller. — 12. [τοὺς Ἰουδαίους] supplevi. At cætera desunt, spatio vacuo litt. 23. Rœper. conj.: τοὺς ἀπὸ Σὴμ γενομένους coll. *Gen.* X, 21; et Buns. legit: τοὺς Ἰουδαίους· ἐπὶ δὲ τοῦ Φαλὲκ ἐγένετο ἡ τῶν ἐθνῶν διασπορά.

οὗτοι ϞϚ, [ἐξ ὧν καὶ ϞϚ] ἔθνη, ὧν καὶ τὰ ὀνόματα ἐκτεθείμεθα ἐν ἑτέραις βίβλοις, μηδὲ τοῦτο καταλιπόντες, κατὰ τρόπον βουλόμενοι τοῖς φιλομαθέσιν ἐπιδεικνύναι ἣν ἔχομεν σποργὴν [332] περὶ τὸ Θεῖον, τήν τε ἀδίσπακτον γνῶσιν ἣν ἐν πόνοις κεκτήμεθα περὶ τὴν ἀλήθειαν. Τούτου δὲ τοῦ Ἔβερ γίνεται πατὴρ Σάλα, τούτου δὲ Καϊνάν, τούτου δὲ Ἀρφαξάδ, οὗ γίνεται Σήμ· τούτου δὲ Νῶε, ἐφ' οὗ ὁ κατὰ πάντα κόσμον γίνεται κατακλυσμός, οὗ οὔτε Αἰγύπτιοι, οὔτε Χαλδαῖοι, οὔτε Ἕλληνες μέμνηνται· οἷς κατὰ τόπους οἵ τε ἐπὶ τοῦ Ὠγύγου καὶ Δευκαλίωνος γεγένηνται κατακλυσμοί. Εἰσὶν οὖν καὶ ἐπὶ τούτων γενεαὶ Ε, ἔτη ϡϛε. Οὗτος εὐσεβέσπατος γενόμενος καὶ Θεοφιλὴς, μόνος ἅμα γυναικὶ καὶ τέκνοις καὶ ταῖς τούτων τρισὶ γυναιξὶ διέφυγε τὸν γενόμενον κατακλυσμὸν ἐν κιβωτῷ διασωθείς, ἧς καὶ τὰ μέτρα καὶ τὰ λείψανα, καθὼς ἐκτεθείμεθα, ἕως νῦν ἀποδείκνυται ἐν ὄρεσιν Ἀραρὰδ καλουμένοις, οὗσι πρὸς τὴν

Hebræorum habuerunt. Erant autem filii Abraham septuaginta et duo, ex quibus septuaginta et duæ gentes quarum nomina in aliis libris exposuimus, ne hoc quidem omittentes suo loco, quum mens nobis esset recte ostendendi quem amorem in Deum habeamus et quam certam scientiam in inquisitionibus circa veritatem afferamus. Hujus autem Heber pater est Sale, istius autem Caïnan, istius Aphraxad, cujus pater est Sem, et istius Noachus, quo degente mundus universus submersus est diluvio, cujus nec Ægyptii, nec Chaldæi, nec Græci, memores fuerunt; diluviis enim quæ tempore Ogygis et Deucalionis acciderunt loca quædam duntaxat submersa fuerunt. Sunt autem a Noacho usque ad tempora Heber quinque generationes et anni quadringenti et triginta quinque. Noachus, vir admodum religiosus et pius, cum conjuge sua et filiis et tribus eorum uxoribus, effugit diluvium in arca servatus, cujus mensuræ et reliquiæ, sicuti exposuimus, usque nunc exhiben-

1. ἐκτεθήμεθα cod. — 2. κατὰ τόπον Duncker. — 2-3. βουλόμενος cod. corr. Miller. — 3-4. ἐπιδεικνύναι sqq. Ex his suspicor nostrum a Judæo auctore totam hanc de Judæis disquisitionem mutuatum esse. Judaicum enim hæc olent : ἣν ἔχομεν σποργὴν περὶ τὸ Θεῖον κ. τ. λ. — 4. τὴν δὲ cod. Mill. — 6. Ἀφὰξδ cod. pro Ἀρφαξάδ. — 8. ὅτε cod. pro οἵ τε. — 13. τὰ λείψανα κ. τ. λ. Cf. Jos. *Ant. Jud.* lib. I, c. III. R. Scottus susp. ἧς καὶ τὰ μέτρα σαφῶς ἐκτεθείμεθα, καὶ τὰ λείψανα ἕως.

τῶν Ἀδιαβηνῶν χώραν. Ἐνιδεῖν οὖν ἐσλὶ τοῖς φιλοπόνως ἱσλορεῖν βουλομένοις ὡς φανερῶς ἐπιδέδεικται τὸ τῶν θεοσεβῶν γένος ἀρχαιότερον ϖάντων Χαλδαίων, Αἰγυπλίων, Ἑλλήνων. Τί δὲ καὶ τοὺς ἐπάνω τοῦ Νῶε καὶ θεοσεβεῖς καὶ Θεοῦ ὁμιλητὰς ὀνομάζειν νῦν χρή, ἱκανῆς οὔσης ϖρὸς τὸ ϖροκείμενον ταύτης τῆς ϖερὶ ἀρχαιότητος μαρτυρίας;

31. Ἀλλ' ἐπεὶ οὐκ ἄλογον δοκεῖ ἐπιδεῖξαι ταῦτα τὰ ϖερὶ σοφίαν ἠσχολημένα ἔθνη μεταγενέσλερα ὄντα τῶν Θεὸν σεβασάντων, εὔλογον εἰπεῖν καὶ ϖόθεν τὸ γένος αὐτοῖς, καὶ ϖότε μετοικήσαντες ταύταις ταῖς χώραις, οὐ τὸ ὄνομα ἐξ αὐτῶν τῶν χωρῶν μετέσχον, ἀλλ' αὐτοὶ ϖροσεποίησαν ἐκ τῶν ϖρώτως ἀρξάντων καὶ κατοικησάντων. Γίνονται τῷ Νῶε τρεῖς ϖαῖδες Σὴμ, Χάμ, Ἰάφεθ· ἐκ τούτων ϖᾶν γένος ἀνθρώπων ϖεπλήθυνται καὶ ϖᾶσα χώρα κατοικεῖται· ῥῆμα γὰρ Θεοῦ ἐπ' αὐτοὺς ἴσχυσεν [333] εἰπόντος· « Αὐξάνεσθε καὶ ϖληθύνεσθε καὶ ϖληρώσατε τὴν γῆν. » Τοσοῦτον δυνηθέντος ἑνὸς ῥήματος, γεννῶνται ἐκ τῶν τριῶν ϖαῖδες κατὰ γένος οϐ, ἐκ μὲν τοῦ Σὴμ

tur in montibus Ararat qui juxta Adiabenorum regionem siti sunt. Iis autem qui volunt res præteritas diligenter inquirere promptum erit videre quanto pium illud hominum genus antiquitate præstet omnibus Chaldæis et Ægyptiis et Græcis. Quid autem opus est nominare eos, qui ante Noachum exstiterunt, viros religiosos et cum Deo conversantes, quum ad propositum nostrum sufficiant testimonia quæ de antiquitate eorum jam præstitimus?

31. Sed quum a ratione non absit, ut nobis videtur, ostendere has ipsas gentes in sapientia exercitas posteriores esse omnibus eis quæ Deum colunt, opportunum erit dicere et unde genus eorum, et quando harum regionum incolæ facti nomen assumpserint, non ex ipsis regionibus, sed sibi ipsi vindicarint ex eis qui primum rexerunt et inhabitaverunt in his locis. Sunt Noacho tres filii Sem, Cham et Japhet. Ex istis omne genus hominum crevit et omnem regionem inhabitavit. Valuit enim verbum Dei dicentis ad eos: « Crescite et multiplicamini et implete terram. » Quum tantum valeret unum verbum, ex tribus filiis Noachi nati sunt septuaginta duo pueri; ete-

2-3. *ἀρχαιότερον ὂν* Sauppius. — 5. Sauppius. — 10. *οὗ τὸ* cod. — 14-15. *οὔσης τῆς* cod. Mill. — 9-10. *ἐν ταύταις*? *Gen.* 1, 23.

κε, ἐκ δὲ τοῦ Ἰάφεθ ιε̄, ἐκ δὲ τοῦ Χαὰμ λϛ̄. Τῷ δὲ Χὰμ γίνονται παῖδες ἐκ τῶν προειρημένων λϛ̄· τούτου Χαναάν, ἐξ οὗ Χαναναῖοι, Μεσραΐμ, ἐξ οὗ Αἰγύπλιοι, Χοῦς, ἐξ οὗ Αἰθίοπες, Φούδ, ἐξ οὗ Λίβυες· οὗτοι τῇ κατ' αὐτοὺς φωνῇ ἕως νῦν τῇ τῶν προγόνων προσηγορίᾳ καλοῦνται, εἰς δὲ τὸ Ἑλληνικὸν οἷς νῦν ὀνόμασι κέκληνται ὀνομάζονται. Εἰ δὲ μηδὲ τὸ οἰκεῖσθαι τὰς τούτων χώρας πρότερον ἦν, μηδὲ ἀρχὴν γένος ἀνθρώπων δείκνυται, οὗτοι δὲ υἱοὶ τοῦ Νῶε ἀνδρὸς γίνονται Θεοσεβοῦς, ὃς καὶ αὐτὸς μαθητὴς γεγένηται ἀνδρῶν Θεοσεβῶν, οὗ χάριν διέφυγε πολλὴν ὕδατος πρόσκαιρον ἀπειλήν· πῶς οὐ προγενέσλεροι ἦσαν Θεοσεβεῖς πάντων Χαλδαίων, Αἰγυπλίων, Ἑλλήνων, ὧν πατὴρ ἐκ τούτου Ἰάφεθ γεννᾶται, ὄνομα Ἰωύαν, ἐξ οὗ Ἕλληνες καὶ Ἴωνες; Εἰ δὲ τὰ περὶ φιλοσοφίας ἐναποσχοληθέντα ἔθνη πολλῷ μεταγενέσλερα τοῦ τῶν Θεοσεβῶν γένους καὶ κατακλυσμοῦ πάντως δείκνυται· πῶς οὐχὶ καὶ βάρβαρα καὶ ὅσα ἐν κόσμῳ γνωσλά τε καὶ ἄγνωσλα νεώτερα τού-

nim ex Sem viginti quinque, ex Japhet quindecim, ex Cham triginta duo. Cham autem pueri sunt ex istis supradictis triginta duo : illius scilicet Chanaan ex quo orti sunt Chananæi, Mesraïm ex quo Ægyptii, Chus ex quo Æthiopes, Phud ex quo Libyes; et isti patria lingua usque ad hodiernam diem nomen habent majorum suorum, Græce autem iis nominibus nominati sunt quibus nunc vocantur. Quod ergo si antea regiones illæ non habitatæ fuerint, nec genus hominum prius initium habere appareat, illi filii Noachi sint, viri admodum pii, qui et ipse virorum piorum discipulus fuit, et ob pietatem suam effugit multas temporarias diluvii minas, nonne antiquiores erant pii isti homines omnibus Chaldæis, Ægyptiis, Græcis, quorum pater ex Japhet natus est et nomen Javan habuit, ex quo Græci et Iones? Quod si nationes quæ philosophiæ studuerunt multo posteriores hoc piorum hominum genere et diluvio clare apparcant, nonne et barbaræ gentes et quæcumque in mundo sunt notæ et ignotæ iisdem piis homi-

1. λϛ̄ οὗτοι Duncker. — 2. Χάρι cod. pro Χαναάν. — 3. Μετραείμ cod. pro Μεσραΐμ. — 6. Hæc et sqq. recensuit Buns. (*Anal. Ante-Nic.* vol. I, p. 381-392.) — 7. γένους cod. — 10. οἱ Θεοσεβεῖς? Sauppius. — 13. ἀναποσχοληθέντα cod. — 14. κατὰ λογισμοῦ cod. pro κατακλυσμοῦ corr. Mill. – πάντως Buns.; παντὸς cod. Mill.

τῶν φανήσεται; Τούτου τοίνυν τοῦ λόγου κρατήσαντες μάθετε Ἕλληνες, Αἰγύπτιοι, Χαλδαῖοι καὶ πᾶν γένος ἀνθρώπων τί τὸ Θεῖον καὶ [τίς] ἡ τούτου εὔτακτος δημιουργία παρ' ἡμῶν τῶν φίλων τοῦ Θεοῦ, καὶ μὴ κομψῷ λόγῳ τοῦτο ἠσκηκότων, ἀλλὰ τῇ ἀληθείας γνώσει καὶ ἀσκήσει σωφροσύνης εἰς ἀπόδειξιν αὐτοῦ λόγους ποιουμένων.

32. (334) Θεὸς εἷς ὁ πρῶτος καὶ μόνος καὶ ἁπάντων ποιητὴς καὶ κύριος, σύγχρονον ἔσχεν οὐδέν, οὐ χάος ἄπειρόν, οὐχ ὕδωρ ἀμέτρητον ἢ γῆν σιῤῥάν, οὐχὶ ἀέρα πυκνόν, οὐ πῦρ θερμόν, οὐ πνεῦμα λεπτόν, οὐκ οὐρανοῦ μεγάλου κυανέαν ὀροφήν· ἀλλ' ἦν εἷς μόνος ἑαυτῷ, ὃς θελήσας ἐποίησε τὰ ὄντα οὐκ ὄντα πρότερον, πλὴν ὅτι ἠθέλησε ποιεῖν ὡς ἔμπειρος ὢν τῶν ἐσομένων· πάρεσι γὰρ αὐτῷ καὶ πρόγνωσις. Διαφόρους δὲ τοῖς ἐσομένοις ἀρχὰς πρότερον ἐδημιούργει, πῦρ καὶ πνεῦμα, ὕδωρ καὶ γῆν, ἐξ ὧν διαφόρων τὴν ἑαυτοῦ κτίσιν ἐποίει, καὶ τὰ μὲν μονοούσια, τὰ δὲ ἐκ δύο, τὰ δὲ

nibus posteriores habebuntur? Quorum doctrina potiti Græci, Ægyptii, Chaldæi et omne hominum genus, quis sit Deus et quæ fuerit creatio ab illo bene ordinata, discite a nobis, viris amicis Dei, qui non elegantibus verbis divina coluimus, sed veritatis cognitione et studio sapientiæ instructi ad demonstrationem Dei loquimur.

32. Deus a principio unus, solus, omniumque creator et Dominus, nec habebat sibi coæternum, neque chaos infinitum, neque immensum mare aut solidam terram, nec densum aera, nec calidum ignem nec subtilem spiritum, nec magni cœli cæruleam cameram; sed solus erat in semetipso; quumque id statuisset, entia fecit quæ non prius erant, nisi quod ea facere voluit, nam futura optime norat; contingit enim illi futuri præscitio. Varia igitur futurorum principia primum creavit, ignem et spiritum, aquam et terram, ex quibus diversis suas creaturas conflavit: has quidem

1. μαθηταὶ cod. Mill. pro μάθετε corr. Harius apud Buns. — 3. [τίς] add. Buns. – Post ἡμῶν excidisse ἔλαθον male conj. Mill. — 4. κομπολόγῳ cod. Dunck.; κομπολόγως Mill. Bunsen. – ἀλλ' ἐν Sapp. Dunck.; ἀλλ' ἢ cod. Mill. Bunsen. — 7. Cod. in margine habet: Ὠριγένης καὶ Ὠριγένους δόξα. — 10. ὀροφὴν R. Scottus pro μορφὴν quod est in cod. et apud Mill. — 11. πλὴν ὅτε cod. Mill. Buns. Sicuti nos Dunck. — 13. Διαφόρους τε cod. Miller. Bunsenius.

ἐκ τριῶν, τὰ δὲ ἐκ τεσσάρων συνεδέσμει. Καὶ τὰ μὲν ἐξ ἑνὸς ἀθάνατα ἦν· λύσις γὰρ οὐ παρακολουθεῖ· τὸ γὰρ ἓν οὐ λυθήσεται ποτε· τὰ δὲ ἐκ δύο ἢ τριῶν ἢ τεσσάρων λυτά, διὸ καὶ θνητὰ ὀνομάζεται· θάνατος γὰρ τοῦτο κέκληται, ἡ τῶν δεδεμένων λύσις. Ἱκανὸν οὖν [δοκεῖ] νῦν τοῖς εὖ φρονοῦσιν ἀποκεκρίσθαι, οἳ εἰ φιλομαθήσουσι καὶ τὰς τούτων οὐσίας καὶ τὰς αἰτίας τῆς κατὰ πάντα δημιουργίας ἐπιζητήσουσιν, εἴσονται ἐντυχόντες ἡμῶν βίβλῳ περιεχούσῃ Περὶ τῆς τοῦ Παντὸς οὐσίας. Τὸ δὲ νῦν ἱκανὸν εἶναι [οἶμαι] ἐκθέσθαι τὰς αἰτίας, ἃς οὐ γνόντες Ἕλληνες κομψῷ λόγῳ τὰ μέρη τῆς κτίσεως ἐδόξασαν τὸν κτίσαντα ἀγνοήσαντες· ὧν ἀφορμὰς σχόντες οἱ αἱρεσιάρχαι, ὁμοίοις λόγοις τὰ ὑπ' ἐκείνων προειρημένα μετασχηματίσαντες, αἱρέσεις καταγελάστους συνεστήσαντο.

33. Οὗτος οὖν μόνος καὶ κατὰ πάντων Θεὸς Λόγον πρῶτον

ex simplici, illas vero ex duplici, alias ex triplici, alias autem ex quadruplici conflavit substantia. Quæ unius erant substantiæ immortalia erant, quippe quarum dissolutio non propria sit; quod enim unum est non unquam solvetur. Quæ autem duarum sunt triumve aut quatuor substantiarum, dissolvi possunt et ideo mortalia nuncupantur; mors enim vocatur junctarum rerum dissolutio. Nunc igitur videmur satis bona mente præditis respondisse; qui ultra sapere atque harum substantiarum essentiam causasque creationis pernoscere cupiunt, ediscent ea, legentes nostrum opus *De omnium rerum essentia.* Nunc autem satis est causas evolvisse eas, quas quum ignorarent Græci varias creationis partes splendido aliquo sermone ornaverunt, Creatorem vero ignoraverunt; quorum vestigia secuti hæresiarchæ, paribus sermonibus dicta prius ab illis commutantes, ridiculas hæreses conflaverunt.

33. Ille igitur solus et universus Deus Verbum primum cogitando pro-

2. λῦσις sic ubique in cod. — 5. [δοκεῖ] supplevi. – ἀποκεκρίσθω susp. Words. — 8. De hoc libro Περὶ τῆς τοῦ Παντὸς οὐσίας conf. *Études sur de nouveaux documents historiques empruntés à l'ouvrage des* Φιλοσοφούμενα, p. 69-73. – [οἶμαι] restit. Bunsen. An *οἶμαι* legendum pro *εἶναι*? his facillime confusis in codd.; *εἶναι ἱκανὸν*? Rœper. — 9. *γνῶντες* cod. corr. Mill. – *κομπῷ λόγῳ* cod. — 10. *ἀφ' ὧν*? Wordsw. — 11. *οἰκείοις* pro *ὁμοίοις* susp. R. Scottus; *ἀνομοίοις* Wordsw. an *ἄλλοι ἀλλοις*? – *ὑπέκεινα* cod.

ἐννοηθεὶς ἀπογεννᾷ, οὐ λόγον ὡς φωνήν, ἀλλ' ἐνδιάθετον τοῦ Παντὸς λογισμόν. Τοῦτον μόνον ἐξ ὄντων [335] ἐγέννα· τὸ γὰρ ὂν αὐτὸς ὁ Πατὴρ ἦν, ἐξ οὗ τὸ τοῦ γεννηθῆναι αἴτιον τοῖς γινομένοις Λόγος ἦν, ἐν αὐτῷ φέρων τὸ θέλειν τοῦ γεγεννηκότος, οὐκ ἄπειρος τῆς τοῦ πατρὸς ἐννοίας· ἅμα γὰρ τῷ ἐκ τοῦ γεννήσαντος προελθεῖν, πρωτότοκος τούτου γενόμενος φωνή, ἔχει ἐν ἑαυτῷ τὰς ἐν νῷ πατρικῷ ἐννοηθείσας ἰδέας, ὅθεν κελεύοντος Πατρὸς γίνεσθαι κόσμον, τὸ κατὰ ἓν Λόγος ἀπετελεῖτο ἀρέσκων Θεῷ. Καὶ τὰ μὲν ἐπὶ γενέσει πληθύνοντα ἄρσενα καὶ θήλεα εἰργάζετο· ὅσα δὲ πρὸς ὑπηρεσίαν καὶ λειτουργίαν, ἢ ἄρσενα θηλειῶν μὴ προσδεόμενα, ἢ οὔτε ἄρσενα, οὔτε θήλεα. Καὶ γὰρ αἱ τούτων πρῶται οὐσίαι ἐξ οὐκ ὄντων γενό-

gignit, non verbum quasi vocem, sed interiorem Universi rationem. Solum illud ex omnibus quæ sunt genuit; ens enim ipse Pater erat, ex quo orta est rerum creatarum causa, Verbum, in ipso genitoris voluntatem ferens, nec inexpertum paternæ conceptionis; quum enim ex genitore procedat, filius primogenitus illius, factus simul vox, habet in se eas quas in patre conceperat ideas: unde, jubente Patre mundum fieri, perfecit Verbum in singulis Deo obtemperans. Et quæ per generationem multiplicantur, ea mascula et feminea finxit: quæcumque autem aliorum usibus et commodis destinabantur, ea mascula femineorum non indigentia, aut neque mascula neque feminea. Quum enim istorum prima elementa ex nihilo facta, ignis

3. *ἐξ οὗ τὸ* cod. Miller. Bunsen.; *ἐξ οὗ τοῦ* Rœp. – *τὸ γεννηθέν. Αἴτιον τοῖς γινομένοις λόγος ἦν ἐν ἑαυτῷ* Dunck. — 4. *γεγεννηκότος* cod. — 5. *γὰρ τὸ* cod. corr. Mill. — 6. *γενόμενος, φωνὴν* cod. Mill. corr. Buns. Similia apponam quæ Tertullianus (*Lib. adv. Prax.* c. v, vii) scripsit: «Ante omnia Deus erat solus, ipse sibi et «mundus et locus et omnia; solus autem, «quia nihil aliud extrinsecus præter illum. «Cæterum, ne tunc quidem solus; habe«bat enim secum, quam habebat in se«metipso, rationem suam scilicet; ratio«nalis enim Deus, et ratio in ipso prius; «et ita ab ipso omnia. Hanc Græci *λόγον* «dicunt, quo vocabulo etiam sermonem «appellamus..... Tunc igitur ipse sermo «speciem et ornatum suum sumit, sonum «et vocem, quum dicit Deus: Fiat lux. Hæc «est nativitas perfecta sermonis, dum ex «Deo procedit..... Ut primum Deus vo«luit, ea quæ cum sophiæ ratione et ser«mone disposuerat intra se, in substan«tias et species suas edere, ipsum primum «protulit sermonem, habentem in se in«dividuas suas, rationem et sophiam, «ut per ipsum fierent universa.» – *ἔχειν* cod. corr. Miller. — 6-7. *ἐν τῷ πατρικῷ ἐννοηθείσας* cod. Mill. Buns.; *ἐν νῷ* (vel *νοΐ*) *πατρικῷ ἐννοηθείσας* conj. R. Scott.; *ἐν τῷ πατρὶ προεννοηθείσας* Dunck. Secutus Ch. Petersenium. — 8. *ἐπιγενέσει* Wordsworth. — 10. *ἄρσενα ἢ θηλειῶν* cod.

μεναι, πῦρ καὶ πνεῦμα, ὕδωρ καὶ γῆ, οὔτε ἄρσενα οὔτε θήλεα ὑπάρχει· [οὐδ' ἐξ] ἑκάστης τούτων δύναται προελθεῖν ἄρσενα καὶ θήλεα, πλὴν εἰ βούλοιτο ὁ κελεύων Θεὸς ἵνα Λόγος ὑπουργῇ. Ἐκ πυρὸς εἶναι ἀγγέλους ὁμολογῶ, καὶ οὐ τούτοις παρεῖναι θηλείας λέγω. Ἥλιον δὲ καὶ σελήνην καὶ ἀστέρας ὁμοίως ἐκ πυρὸς καὶ πνεύ- 5
ματος, καὶ οὔτε ἄρσενας οὔτε θηλείας νενόμικα· ἐξ ὕδατος δὲ ζῷα νηκτὰ εἶναι λέγω καὶ πτηνὰ ἄρσενα καὶ θήλεα· οὕτω γὰρ ἐκέλευσεν ὁ θελήσας Θεὸς γόνιμον εἶναι τὴν ὑγρὰν οὐσίαν. Ὁμοίως ἐκ γῆς ἑρπετὰ καὶ θηρία καὶ παντοδαπῶν ζῴων ἄρσενα καὶ θήλεα· οὕτως γὰρ ἐνεδέχετο ἡ τῶν γεγονότων φύσις. Ὅσα γὰρ ἠθέλησεν, 10
ἐποίει ὁ Θεός. Ταῦτα Λόγῳ ἐδημιούργει, ἑτέρως γενέσθαι μὴ δυνάμενα, ἢ ὡς ἐγένετο. Ὅτε δὲ ὡς ἠθέλησε καὶ ἐποίησεν, ὀνόματι καλέσας ἐσήμηνεν. Ἐπὶ τούτοις τὸν πάντων ἄρχοντα δημιουργῶν ἐκ πασῶν συνθέτων οὐσιῶν ἐσκεύασεν· οὐ [δὲ] Θεὸν θέλων ποιεῖν (336)

scilicet et aer, aqua et terra, nullo modo sint mascula aut feminea, nullum ab eis procedit masculum aut femineum, nisi, jubente Deo, Verbum ita faciat. Ex igne esse factos angelos confiteor, quibus adesse feminas nego. Solem vero et lunam, et sidera, ex igne pariter et aere facta, esse nec mascula nec feminea arbitror. Jam quæ ex aqua sunt animalia, volatilia scilicet et aquatilia, ea voluit esse mascula et feminea; sic enim jussit Deus, qui voluit esse prolificam humidam substantiam. Similiter e terra, serpentium et ferarum, et omnium cujuslibet generis animantium mares sunt et feminæ, quod fieri reposcebat rerum creatarum natura. «Omnia enim Deus «quæcumque voluit fecit.» Hæc Verbo creabat, quæ alio modo fieri non poterant ac facta sunt. Et quum quæcumque volebat effecisset, ea appellans, nomine notavit. Post ea, ex omnibus compositis substantiis rerum omnium dominum Creator conflavit, nec Deum volens facere nec angelum,

2. ὑπάρχειν ἑκάστη τούτων δύνται cod.; ὑπάρχει· [οὔτ' ἐξ] ἑκάστης τούτων δύναται Bunsen.; ὑπάρχει· ἑκάστης τούτων δύναται vel ὑπάρχουσιν οὔτε ἑκάστης τούτων δύναται conj. Miller. Words. autem: ὑπ' ἀρχῇ δὲ ἑκάστη τούτων κ. τ. λ. — 3. ὑπουργεῖ in cod. prima manus. Cf. Orig. in Joann. tom. II, § 8. — 7. θέλων cod. Mill.; λέγω conj. Rœp.; θέλω Buns. — 12. Ὅτε δὲ ἡ cod.; pro ἡ lege ὡς vel ᾗ. — 13. δημιουργὸν cod. Mill.; δημιουργῶν Buns. R. Scott. Rœper. Jam Εἰ γὰρ Θεόν et sqq. (p. 518, l. 1) hæreticum olent. Cf. Orig. (in Joann. t. II, § 2) qui eadem docet et explicat.

ἔσφηλεν, οὐδὲ ἄγγελον (μὴ πλανῶ), ἀλλ' ἄνθρωπον. Εἰ γὰρ Θεόν σε ἠθέλησε ποιῆσαι, ἐδύνατο· ἔχεις τοῦ Λόγου τὸ παράδειγμα· [ἀλλ'] ἄνθρωπον θέλων, ἄνθρωπόν σε ἐποίησεν· εἰ δὲ θέλεις καὶ Θεὸς γενέσθαι, ὑπάκουε τῷ ποιοῦντι, καὶ μὴ ἀντίβαινε νῦν, ἵνα ἐπὶ τῷ μικρῷ πιστὸς εὑρεθεὶς καὶ τὸ μέγα πιστευθῆναι δυνηθῇς. Τούτου ὁ Λόγος μόνος ἐξ αὐτοῦ· διὸ καὶ Θεός, οὐσία ὑπάρχων Θεοῦ. Ὁ δὲ κόσμος ἐξ οὐδενός· διὸ οὐ Θεός· οὕτος ἐπιδέχεται καὶ λύσιν ὅτε βούλεται ὁ κτίσας. Ὁ δὲ κτίσας Θεὸς κακὸν οὐκ ἐποίει· ὃ δὲ ποιεῖ καλὸν καὶ ἀγαθόν· ἀγαθὸς γὰρ ὁ ποιῶν. Ὁ δὲ γενόμενος ἄνθρωπος, ζῷον αὐτεξούσιον ἦν, οὐκ ἄρχοντα νοῦν ἔχον, οὐκ ἐπινοίᾳ καὶ ἐξουσίᾳ καὶ δυνάμει πάντων κρατοῦν, ἀλλὰ δοῦλον, καὶ πάντα ἔχον τὰ ἐναντία· ὃς τῷ αὐτεξούσιον ὑπάρχειν, τὸ κακὸν ἐπιγεννᾷ, ἐκ συμβεβηκότος ἀποτελούμενον, [ὂν] μὲν οὐδὲν ἐὰν μὴ ποιῇς. Ἐν γὰρ τῷ θέλειν καὶ νομίζειν τι κακόν, τὸ κακὸν ὀνομά-

ne fallam, erravit; sed hominem fingere volebat. Nam, si te Deum voluisset facere, potuisset; exemplum rei habes Verbum. Sed hominem volens, hominem te fecit. Si vis Deus fieri. Creatori obedi neque adversare nunc, ut in minimis invento tibi fideli magna concredi possint. Dei Verbum solum ex Deo; ideoque Deus est, quum sit substantia Dei. Ex nihilo autem mundus; ideoque Deus non est et dissolvitur jubente Creatore. Creator autem Deus malum non fecit; quod facit bonum est; qui facit enim ipse bonus. Homo vero qui factus est, animal sui juris erat, non imperantem mentem habens, nec cogitatione, nec auctoritate, nec vi cætera dominatum, sed servum et omnia contraria habens, qui quum sui juris esset, mali auctor fuit; quod, quum casu tantum efficiatur, nullum sit nisi per te fiat. Si quid enim mali cupis aut meditaris, id malum appellatur: malum non est ab initio.

2. [ἀλλ'] addendum. — 5. Cf. Evang. sec. Matth. XXV, 21, 23; Evang. sec. Luc. XIX, 17. — 5-6. Τούτων Rœper. — 8-9. οὐδὲ ποιεῖ· καλὸν cod. Millerus. Legendum ὃ δὲ ποιεῖ. Post ποιεῖ Millerus conjicit inserendum esse εἰ μὴ vel ἤ. Bunsen. et Wordsw. legunt οὐδὲ ποιεῖ· [ποιεῖ] καλὸν. Rœperus autem: οὐδὲ ποιεῖ, ἀλλὰ καλὸν, et R. Scottus: οὐδέν· ποιεῖ δὲ καλὸν. — 10. ἄρχον, οὐ νοῦν cod. Mill.; ἀρχοντα νοῦν Bunsen.; ἄρχον ὄν, νοῦν Wordsw. — 11. κρατῶν cod. — 12. ἔχοντα ἐν. cod. — 12-13. κακὸν ἐπιγεννᾷ ἐκ συμβ. Wordsw. — 13. [ὂν] supplevit Mill. Sed delevit μὲν quod est in cod.

ζεται, οὐκ ὃν ἀπ' ἀρχῆς, ἀλλ' ἐπιγινόμενον. Οὗ αὐτεξουσίου ὄντος, νόμος ὑπὸ Θεοῦ ὡρίζετο, οὐ μάτην· εἰ γὰρ μὴ εἶχεν ὁ ἄνθρωπος τὸ θέλειν καὶ τὸ μὴ θέλειν, τί καὶ νόμος ὡρίζετο; Ὁ νόμος γὰρ ἀλόγῳ ζῴῳ οὐχ ὁρισθήσεται, ἀλλὰ χαλινὸς καὶ μάστιξ, ἀνθρώπῳ δὲ ἐντολὴ καὶ προσίμιον τοῦ ποιεῖν τὸ προσταγμένον καὶ μὴ ποιεῖν· τούτῳ νόμος ὡρίσθη διὰ δικαίων ἀνδρῶν ἐπάνωθεν. Ἔγγιον ἡμῶν διὰ τοῦ προειρημένου Μωϋσέως, ἀνδρὸς εὐλαβοῦς καὶ θεοφιλοῦς, νόμος ὡρίζετο πλήρης σεμνότητος καὶ δικαιοσύνης. Τάδε πάντα διοικεῖ ὁ Λόγος ὁ Θεοῦ, ὁ πρωτόγονος Πατρὸς παῖς, ἡ πρὸ ἑωσφόρου φωσφόρος φωνή. Ἔπειτα [337] δίκαιοι ἄνδρες γεγένηνται φίλοι Θεοῦ· οὗτοι προφῆται κέκληνται διὰ τὸ προφαίνειν τὰ μέλλοντα· οἷς οὐχ ἑνὸς καιροῦ λόγος ἐγένετο, ἀλλὰ διὰ πασῶν γενεῶν αἱ τῶν προλεγομένων φωναὶ εὐαπόδεικτοι παρίσταντο· οὐκ ἐκεῖ μόνον ἡνίκα τοῖς παροῦσιν ἀπεκρίναντο, ἀλλὰ καὶ διὰ πασῶν

sed fit. Homini libero lex a Deo definita est, non frustra. Nam, si nequiret homo velle aut non velle, cur lex definiretur? Non enim lex animali rationis experti constituitur, sed frenum et flagrum; ast homini mandatum et mulcta decernuntur ut faciat aut abstineat; quæ lex vetustissimis temporibus ei definita est a justis quibusdam viris. Ætate minus a nobis remota, a supradicto Moyse, viro pio et religioni addictissimo, lex constituta est gravitate et justitia referta. Hæc omnia regit Verbum divinum, filius Patris primogenitus, ante luciferum vox lucem ferens. Deinde nati viri justi, et Deo grati, qui prophetæ ideo vocati sunt quod res futuras prædicerent; quibus non unius ætatis rerum revelatio fiebat, sed prædictarum per omnes generationes rerum series manifesta ostendebatur neque tunc temporis tantum, quum æqualibus responsa darent, sed quum per omnes ge-

1. Conf. Orig. in Joann. tom. II, § 7 : *οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς (τὸ κακόν) κ. τ. λ.* – *ἐπιγενόμενον* Buns. – Vox Οὗ prorsus evanida. Mill. — 2. *οὐ γὰρ* cod.; *εἰ γὰρ* Mill.; *οὗ γὰρ* Wordsw.; *οὐ γὰρ εἰ μὴ* Rœp. er. — 3. *θέλειν τι, καὶ νόμος ὡρίζετο* cod. Mill.; *θέλειν, τί κἂν νόμος ὁρίζοιτο* Buns. (*Hipp. and his age*); *θέλειν, τί καὶ νόμος ὡρίζετο* R. Scottus, Word. — 4. *μάστιγξ* cod. — 7. *Μωϋσέος* cod. — 10. Conf. II Epist. B. Petr. 1, 18, 19. — 13 sqq. In hoc prophetarum encomio notanda maxime sunt quæ noster dicit de Verbo in prophetis vivente et per eos loquente. « Verbum autem misit Pater pos- « terioribus temporibus non amplius per « prophetam locuturum, *οὐκέτι διὰ προ-* « *φήτου λαλεῖν.* » Eadem docuit Origenes :

γενεῶν τὰ ἐσόμενα προεφήναντο, ὅτι τὰ μὲν παρῳχημένα λέγοντες, ὑπεμίμνησκον τὴν ἀνθρωπότητα· τὰ δὲ ἐνεστῶτα δεικνύντες, μὴ ῥαθυμεῖν ἔπειθον· τὰ δὲ μέλλοντα προλέγοντες τὸν κατὰ ἕνα ἡμῶν ὁρῶντας πρὸ πολλοῦ προειρημένα ἐμφόβους καθίστων προσ-
5 δοκῶντας καὶ τὰ μέλλοντα. Τοιαύτη ἡ καθ' ἡμᾶς πίστις, ὦ πάντες ἄνθρωποι, οὐ κενοῖς ῥήμασι πειθομένων, οὐδὲ σχεδιάσμασι καρδίας συναρπαζομένων, οὐδὲ πιθανότητι εὐεπείας λόγων θελγομένων, ἀλλὰ δυνάμει θείᾳ λόγοις λελαλημένοις οὐκ ἀπειθούντων. Καὶ ταῦτα Θεὸς ἐκέλευε Λόγῳ· ὁ δὲ Λόγος ἐφθέγγετο λέγων δι' αὐτῶν [τῶν
10 προφητῶν] ἐπιστρέφων τὸν ἄνθρωπον ἐκ παρακοῆς, οὐ βίᾳ ἀνάγκης δουλαγωγῶν, ἀλλ' ἐπ' ἐλευθερίαν ἑκουσίῳ προαιρέσει καλῶν. Τοῦτον τὸν Λόγον ἐν ὑστέροις ἀπέστελλεν ὁ πατὴρ οὐκέτι διὰ προφήτου λαλεῖν, οὐ σκοτεινῶς κηρυσσόμενον ὑπονοεῖσθαι θέλων, ἀλλ' αὐτοψεὶ φανερωθῆναι. Τοῦτον, λέγω, [ἀπέστελλεν] ἵνα [ὁ] κόσμος ὁρῶν

nerationes futura prædicerent, quia præterita narrantes, hominum animos ad rerum memoriam revocabant; præsentia vero ostendentes, ne segniter agerent persuadebant; prædictione autem futurorum singulos nostrum respicientes res a longo tempore prænuntiatas terrore turbabant exspectantes etiam futura. Talis est culta apud nos fides, o universi homines: nec inanibus verbis persuasi sumus, nec subitis animi motibus abripimur, nec suasoria facundia decipimur, sed expressis virtute divina mandatis paremus. Hæc Deus Verbo mandaverat: quæ Verbum loquendo promulgavit, non his sermonibus ab inobedientia avertens hominem nec necessitatis vi in servitutem redigens, sed hortans nos ut arbitrio nostro libere vivamus. Hoc Verbum posterioribus temporibus misit Pater, non ut per prophetas loqueretur; nolebat enim obscure prædicatum subintelligi Verbum; sed jussit ut conspectu ipso manifestaretur. Atque ideo, dico, misit ut mun-

«Christus Dei Verbum in Moyse atque «prophetis erat. Nam sine Verbo Dei quo«modo poterant prophetare de Christo?» (Περὶ Ἀρχῶν, lib. I, § 1.) Quod reprehensum fuisse in Origene notat Sixtus Senensis, lib. V. — 1. ὁτι μὲν τὰ cod. Mill. Buns.; ὅτε R. Scottus; ἔτι Wordsw.; ὅτε τὰ μὲν? Rœp. — 4. καθισῶν cod. — 9-10. [τῶν προφητῶν] supplevi quæ prorsus deerant, cf. infra. Buns. legit ἐφθέγγετο δι' αὐτῶν τῶν λόγων. — 11. ἐπ' ἐλευθερίᾳ ἑκουσίῳ, προαιρέσει cod. Millerus; corr. R. Scottus quem secutus est Bunsenius. Wordsworth. autem suspicatur legendum esse ἑκουσίως. — 14. φανερωθῆναι τοῦτον λέγῳ, ἵνα? Dunck. — [ἀπέστελλεν] addunt. Buns. R. Scottus. — [ὁ] addidi.

δυσωπηθῇ, οὐκ ἐντελλόμενον διὰ προσώπου προφητῶν, οὐδὲ δι' ἀγγέλου φοβοῦντα ψυχήν, ἀλλ' αὐτὸν παρόντα τὸν λελαληκότα. Τοῦτον ἔγνωμεν ἐκ Παρθένου σῶμα ἀνειληφότα καὶ τὸν παλαιὸν ἄνθρωπον διὰ καινῆς πλάσεως πεφυρακότα, ἐν βίῳ διὰ πάσης ἡλικίας ἐληλυθότα, ἵνα πάσῃ ἡλικίᾳ αὐτὸς νόμος γενηθῇ, καὶ σκοπὸν τὸν ἴδιον ἄνθρωπον πᾶσιν ἀνθρώποις ἐπιδείξῃ παρών, καὶ δι' αὐτοῦ ἐλέγξῃ ὅτι μηδὲν ἐποίησεν ὁ Θεὸς πονηρόν, καὶ ὡς αὐτεξούσιος (338) ὁ ἄνθρωπος ἔχων τὸ θέλειν καὶ τὸ μὴ θέλειν, δυνατὸς ὢν ἐν ἀμφοτέροις. Τοῦτον ἄνθρωπον ἴσμεν [ἐκ] τοῦ καθ' ἡμᾶς φυράματος γεγονέναι· εἰ γὰρ μὴ ἐκ τοῦ αὐτοῦ ὑπῆρξε, μάτην νομοθετεῖ μιμεῖσθαι τὸν διδάσκαλον. Εἰ γὰρ ἐκεῖνος ὁ ἄνθρωπος ἑτέρας ἐτύγχανεν οὐσίας, τί τὰ ὅμοια κελεύει ἐμοὶ τῷ ἀσθενεῖ πεφυκότι, καὶ πῶς οὗτος ἀγαθὸς καὶ δίκαιος; Ἵνα δὲ μὴ ἕτερος παρ' ἡμᾶς νομισθῇ, καὶ κάματον ὑπέμεινε, καὶ πεινῆν ἠθέλησε, καὶ διψῆν οὐκ ἠρνήσατο, καὶ ὕπνῳ ἠρέμησε, καὶ πάθει οὐκ ἀντεῖπε, καὶ θανάτῳ ὑπήκουσε,

dus visum veneraretur Verbum, nec jam mandata dans per prophetas, nec animos per angelos terrore afficiens, sed præsens ipsum et loquens. Verbum hoc scimus ex Virgine corpus assumpsisse ac veterem hominem nova forma refinxisse, in vita omnis ætatis gradus lustravisse, ut omni ætati norma fieret, et homo factus, exemplar et finem proprium hominum universitati ostenderet præsens, et id, auctore se, persuasum faceret Deum nihil mali fecisse; jam hominem liberum esse, potestatem habentem volendi et nolendi, et in utroque pollentem. Scimus autem hunc hominem factum fuisse ex humanitatis nostræ materia; nisi enim ex illa fuisset, frustra jussisset ut ipsum tanquam magistrum imitaremur. Si quidem ipse et homo substantiæ alius esset, cur similia mihi imperaret natura imbecillo? Quomodo (talia qui juberet) sapiens foret et justus? Ne vero alienus apud nos videretur, labores suscepit, famem pati voluit, sitim non recusavit, quievit somno,

4. πεφορηκότα cod. Miller.; πεφυρακότα Wordsw. qui recte adnotat: neque veterem Adamum *sumpsit* et *gessit* Christus sine peccato conceptus, sed veterem refinxit et renovavit. — 8. Pro ἔχων Millerus conjicit ἔχῃ. — 9. οὗ τὸν ἄνθρωπον cod.; corr. Miller.; υἱὸν ἀνθρώπου suspic. R. Scottus; αὐτὸν ἄνθρωπον Rœper. – εἰς μὲν τοῦ cod.; ἴσμεν ἐκ τοῦ Bunsen.; ἐκ μὲν τοῦ Mill. Rœper. — 10. ἐνομοθέτει conj. Mill. — 14. διψεῖν cod. corr. Millerus.

καὶ ἀνάστασιν ἐφανέρωσεν, ἀπαρξάμενος ἐν πᾶσι τούτοις τὸν ἴδιον ἄνθρωπον, ἵνα σὺ πάσχων μὴ ἀθυμῇς, ἀλλ' ἄνθρωπον σεαυτὸν ὁμολογῶν προσδοκᾷς καὶ σὺ ὁ τούτῳ [Πατὴρ] παρέσχεν.

34. Τοιοῦτος ὁ περὶ τὸ Θεῖον ἀληθὴς λόγος, ὦ ἄνθρωποι Ἕλληνές τε καὶ Βάρβαροι, Χαλδαῖοί τε καὶ Ἀσσύριοι, Αἰγύπτιοί τε καὶ Λίβυες, Ἰνδοί τε καὶ Αἰθίοπες, Κελτοί τε καὶ οἱ στρατηγοῦντες Λατῖνοι, πάντες τε οἱ τὴν Εὐρώπην Ἀσίαν τε καὶ Λιβύην κατοικοῦντες, οἷς σύμβουλος ἐγὼ γίνομαι, φιλανθρώπου Λόγου ὑπάρχων μαθητὴς καὶ φιλάνθρωπος, ὅπως προσδραμόντες διδαχθῆτε παρ' ἡμῶν τίς ὁ ὄντως Θεός, καὶ ἡ τούτου εὔτακτος δημιουργία, μὴ προσέχοντες σοφίσμασιν ἐντέχνων λόγων, μηδὲ ματαίοις ἐπαγγελίαις κλεψιλόγων αἱρετικῶν, ἀλλ' ἀληθείας ἀκόμπου ἁπλότητι σεμνῇ, δι' ἧς ἐπιγνώσεως ἐκφεύξεσθε ἐπερχομένην πυρὸς κρίσεως ἀπειλήν, καὶ ταρτάρου ζοφεροῦ ὄμμα ἀφώτιστον, ὑπὸ Λόγου φωνῆς μὴ καταλαμφθέν, καὶ βρασμὸν ἀενάου λίμνης [339] γεέννης φλογός, καὶ

dolorem non abnuit, morti obedivit, manifestavitque resurrectionem, in his omnibus primo se hominem proprie esse ostendens, ne, quum pateris, animo deficias, sed te ipsum hominem esse professus exspectes quidquid illi Pater præbuit.

34. Hæc est de divinitate vera doctrina, o homines Græci et Barbari, Chaldæi et Assyrii, Ægyptii et Libyes, Indi et Æthiopes, Celtæ vosque armis dominantes Latini, et vos omnes quicumque Europam, Asiam, Libyam incolitis. Vobis, ego amantis homines Verbi discipulus, hominis ipse amans consiliarius fio, ut accurrentes doceamini a nobis qualis sit reipsa Deus, Deique quam sit bene ordinata creatio; ne captiosis sophismatum argumentis, nec vanis mendacium hæreticorum promissionibus obtemperetis; contra veritatis modestæ adhæreatis augustæ simplicitati, qua cognita instantes ignis judicii minas effugietis nec non et Tartari obscuri visum sine lumine, per Verbi vocem non illuminatum, et ferventes æterni Lacus Gehennæ flam-

2. Vide ne pro ἀλλ' ἄνθρωπον reponendum sit ἀμάνθρωπον, id est hominem connaturalem cum Christo. Wordsw. — 3. προσδοκῶν cod. Wordsw. corr. Miller. — [Πατὴρ] supplevit Buns. — παρέσχες cod. Mill. Wordsw.; παρέσχεν Buns.; πάρεσιν? Rœp. — 13. ἐκφεύξεσθαι cod. — 14. ζωφερὸν cod.; ζοφερὸν Mill. Buns.; ζοφεροῦ Rœper. — 14-15. καταλαμφέν cod. — 15. γεννητρος (sic) cod.; γεέννης Buns. R. Scottus; γεννήτορος Mill.; γεννητρίας Rœp.

ταρταρούχων ἀγγέλων κολασΙῶν ὄμμα ἀεὶ μένον ἐν ἀπειλῇ, καὶ σκώληκα σώματος ἀλουσίᾳ ἐπισΙρεφόμενον ἐπὶ τὸ ἐκβράσαν σῶμα ὡς ἐπὶ τροφήν. Καὶ ταῦτα μὲν ἐκφεύξῃ, Θεὸν τὸν ὄντα διδαχθείς, ἔξεις δὲ ἀθάνατον τὸ σῶμα καὶ ἄφθαρτον ἅμα ψυχῇ, [καὶ] βασιλείαν οὐρανῶν ἀπολήψῃ, ὁ ἐν γῇ βιοὺς καὶ ἐπουράνιον βασιλέα ἐπιγνούς· ἔσῃ δὲ ὁμιλητὴς Θεοῦ, καὶ συγκληρονόμος ΧρισΙοῦ, οὐκ ἐπιθυμίαις ἢ πάθεσι καὶ νόσοις δουλούμενος. Γέγονας γὰρ θεός· ὅσα γὰρ ὑπέμεινας πάθη ἄνθρωπος ὤν, ταῦτα ἐδήλου ὅτι ἄνθρωπος εἶς· ὅσα δὲ παρακολουθεῖ Θεῷ, ταῦτα παρέχειν ἐπήγγελται Θεός, ὅτι ἐθεοποιηθῇς, ἀθάνατος γεννηθείς. ΤουτέσΙι τὸ Γνῶθι σεαυτόν, ἐπιγνοὺς τὸν ποιήσαντα Θεόν. Τῷ γὰρ ἐπιγνῶναι ἑαυτὸν ἐπιγνωσθῆναι συμβέβηκε τῷ καλουμένῳ ὑπ' αὐτοῦ. Μὴ φιλεχθρήσητε τοίνυν

mas, et tortorum Tartari angelorum oculum semper minacem, et vermem qui, corporis per illuviem, corpus ebulliens circuit quo alimento nutriatur. Hæc vitabis, si quis sit Deus docearis; immortale corpus habebis, incorruptibileque eodem modo atque animam; et regnum cœlorum accipies, qui, dum degeris in terris, regem cœlestem cognosces; eris Dei familiaris, cohæres autem Christi, non jam cupiditatibus, aut animi immoderatis affectibus, aut morbis gravatus. Factus enim es deus. Quidquid autem pati debuisti ut homo, hoc monstrabat te esse hominem; quæcumque Dei propria sunt, ista tibi præbere promisit Deus, quum divinus fies, et immortalis. Hoc indicat sententia, «Nosce te ipsum,» noscens creatorem Deum. Noscenti enim se ipsum contingit ut cognoscatur a Deo, a quo vocatus est.

1. μένων cod.; corr. Millerus. — 2. σκώληκα σώματος ἀπουσίαν cod. Miller. Words. qui in notis addit : ἀπουσία rem quamvis denotat ab ipsa substantia (ἀπὸ τῆς οὐσίας) profluentem, ἀποῤῥοήν, ἀποσπερματισμόν, quo sensu utitur voce ἀπουσία S. Petr. Alex. ap. *Routh. Rel. sac.* IV, 345. σκώληκα ἀπαύστως ἐπισΙρ. Bunsen. R. Scottus; σκώληκα ὡς ἐπὶ σώματος ἀλουσίᾳ ἐπὶ τὸ ἐκβράσαν σῶμα ἐπισΙρεφόμενον Rœper.; σκώληκα σώματος ἐπ' οὐσίαν conj. Duncker. — 3. ὡς ἐπισΙρέφων cod. Miller.; ὡς ἐπιτρέφον Wordsw. ὡς ἐπὶ τροφήν Buns. R. Scott. Dunck. in notis. — 4. [καὶ] suppl. Mill. — 8. δίδου cod. Miller.; ἐδίδω Bunsen.; ἴδοὺ Rœp. legendum διὰ σοῦ susp. Words. lege ἐδήλου. – ὅτε cod. Mill.; ὅτι R. Scott. Buns. — 10. ἐθεοποιήθης Saupp. Θεοποιηθῆς cod. Mill. — 11. Τὸ γὰρ cod. Buns. Dunck.; Τῷ γὰρ Mill. – ἐπιγνῶναι Buns. — 12. Φιλεχθήσετε cod. Mill. Wordsw.; Φιλεχθρήσετε Buns. qui adnotat : adluditur ad *Prov.* III, 30 : μὴ Φιλεχθρήσετε.

ἑαυτοῖς, ἄνθρωποι, μηδὲ τὸ παλινδρομεῖν δισλάσητε· Χρισλὸς γάρ ἐσλιν ὁ κατὰ πάντων Θεός, ὃς τὴν ἁμαρτίαν ἐξ ἀνθρώπων ἀποπλύνειν προσέταξε, νέον τὸν παλαιὸν ἄνθρωπον ἀποτελῶν, εἰκόνα τοῦτον καλέσας ἀπ' ἀρχῆς διὰ τύπου, τὴν εἰς σὲ ἐπιδεικνύμενος σλοργήν· οὗ προσλάγμασιν ὑπακούσας σεμνοῖς, καὶ ἀγαθοῦ ἀγαθὸς γενόμενος μιμητής, ἔσῃ ὅμοιος ὑπ' αὐτοῦ τιμηθείς. Οὐ γὰρ πτωχεύει Θεὸς [ὁ] καὶ σὲ θεὸν ποιήσας εἰς δόξαν αὐτοῦ.

Nolite igitur, o homines, invicem adversus vos contendere; ne dubitate redire. Christus enim est super omnia constitutus Deus, qui constituit humanitatis peccata abluere, novum efficiens veterem hominem, quem ab initio imaginem suam vocaverat, suum erga te amorem exemplo ostendens. Cujus si venerandis obtempêrabis mandatis, et boni bonus fies imitator, consimilis eris ei, ab eo honoratus. Non enim Deus mendicus est qui et te propter suam gloriam deum fecit.

1. τῷ παλινδρομεῖν Rœp.; τὸ παλινδρομεῖν cod. Mill. Buns. Qui conferenda notat ea quæ supra leguntur : πείσομεν παλινδρομεῖν ἐπὶ τὸν τῆς ἀληθείας εὔδιον λιμένα (p. 120, 9). — 2. ᾧ ὁ κατὰ πάντων Θεὸς τὴν Bunsen. — 5. οὐ cod. pro οὗ. — 6. τιμηθείς. Σοῦ cod. Mill. Buns.: τιμηθείς. Οὐ Rœp. Dunck. — 6-7. Forsan legendum : Σὲ γὰρ πολυωρεῖ. — [ὁ] addidi.

INDEX GRÆCITATIS

Continens ea maxime vocabula quæ insolentia quæque insolentiori vel structura vel sensu Noster usurpat.

A

Ἀβασίλευτος, 157, 17; 168, 6.
Ἀβουλήτως, 409, 5.
Ἀγαθηφόρος, 152, 3.
Ἀγεννησία, 186, 9; 373, 2.
Ἀγήρατος, 196, 15; 282, 14, 15.
Ἀγρίξεσθαι, 453, 10.
Ἄγροικος, 86, 9.
Ἀγώγιμα (τὰ), 266, 6.
Ἀδάρκη, 99, 10.
Ἀδιαλείπτως, 49, 3.
Ἀδιάφθορος, 273, 14.
Ἀδιαφορία βίου τε καὶ βρώσεως, 392, 6.
Ἀδίσταχτος, 511, 4.
Ἀδρανῆ δόγματα, 52, 6; ἀδρανὴς λόγος, 496, 7.
Ἀδρομερῶς, 2, 13.
Ἀΐδηλος, 249, 10.
Ἀϊδωνεύς ὁ ἀήρ, ὅτι πάντα δι' αὐτοῦ βλέποντες, μόνον αὐτὸν οὐ καθορῶμεν, 371, 5-6.
Ἀείκλαυτος, 102, 2.
Ἀείνους, 283, 6.
Ἀθελήτως, 346, 5.
Ἀθετεῖν, 452, 4.
Ἄθηλυς, 280, 5.
Αἰπόλος, 169, 4.
Αἰσθητικός, 29, 4.
Αἰσχυντηρός, 92, 2.
Αἰχμάλωτος, 140, 14.
Ἀκαίριμος, 87, 8.
Ἄκαρπος, 168, 9.
Ἀκαταληψία, 28, 12; 45, 2.
Ἀκατονόμαστος, 174, 7, 359, 9.
Ἀκλινῶς, 286, 9.
Ἄκομπος, 522, 12.
Ἄκοσμον (τὸ) τῆς βοῆς, 95, 11.
Ἀκούω: ἀφ' ἧς ἂν ἀκούσῃ, 450, 9.
Ἀκράτητος, 433, 9.
Ἀκριβαζόμενα (τὰ), 470, 4.
Ἄκρισμα, 176, 9.
Ἀκριτόμυθος, 506, 11.
Ἀκυβέρνητος, 341, 10.
Ἀλάλως, 160, 4.
Ἄλλιτα, 102, 5.
Ἀλυκός, 90, 7.
Ἀμάρα, 225, 8.
Ἀμάραντος, 148, 5.
Ἁμαρτάνειν τι πρὸς θάνατον, 444, 3-4.
Ἀμέριστος, 253, 11.
Ἀμετανοήτως, 286, 9.
Ἀμετασχάτως, 205, 9.
Ἀμνίον, 255, 5.
Ἀμορφία, 188, 8.
Ἀμύγδαλος, 173, 16.
Ἀμυχή, 174, 6.
Ἀμφιβληστροειδής, 405, 5.
Ἀναδιδόναι, 18, 4.
Ἀναδραμεῖν, 31, 10.
Ἀνακαλεῖσθαι, 257, 2.
Ἀνακάμπτειν, 239, 7.
Ἀνακτόρειον, 172, 1.
Ἀνάκτορον, 161, 5.
Ἀνακύκλωσις, 126, 7.
Ἀνακυλίεσθαι, 426, 12.
Ἀναλογισμός, 273, 11.
Ἀναπεσφράγισται, 402, 14.
Ἀναπόδεικτος, 472, 5.
Ἀναποιεῖσθαι, 112, 1.
Ἀνάριθμος φλυαρία, 224, 13.
Ἀνασείεσθαι, 435, 10.
Ἀνασχέλλειν, 157, 9.
Ἀνασχραφείς, 434, 6.
Ἀνασχρέφειν, 307, 16.
Ἀνείδεον, 33, 1; 368, 10.

Ἀνεκλάλητος, 316, 2; 492, 9.
Ἀνέλεγκτος, 241, 1.
Ἀνεννόητος, 150, 4; 302, 7.
Ἀνεξαγόρευτος, 149, 10.
Ἀνεξαρίθμητα (τὰ), 346, 10.
Ἀνεξεικόνιστος, 150, 4.
Ἀνεξέλεγκτος, 425, 1.
Ἀνεπαισχύντως, 5, 9-10.
Ἀνεπινόητος, 210, 2; 484, 2.
Ἀνήριθμον μέγεθος, 398, 3.
Ἄνηχος, 249, 5.
Ἄνθρωπος (ὁ ἔσω), 293, 8.
Ἀνιστάναι, 366, 6.
